τας, ἐγκαταλείψω σκάνδαλόν τι τῷ ἀναγνώστῃ, θὰ θέσω τὰς μαρτυρίας συντόμως καὶ ἀκριβῶς καὶ ἐπιτροχάδην θὰ πραγματευθῶ, ἵνα δι' ὅλου τοῦ κύρους τῶν Γραφῶν ἀγωνισθῶμεν κατὰ τῶν δεδηλητηριασμένων ἀποδείξεων. Ὅστις δὲν ἔχει ἔνδυμα γάμου, οὐδ' ἐξετέλεσε τὴν ἐντολὴν ἐκείνην: «ἔστωσαν λευκὰ πάντοτε τὰ ἱμάτιά σου», ὑποχρεοῦται χερσί τε καὶ ποσὶ νὰ μὴ ἀνακλίνηται ἐν τῷ συμποσίῳ, μηδὲ νὰ κάθηται ἐπὶ τῆς ἕδρας, μηδὲ νὰ ἵσταται ἐκ δεξιῶν τοῦ Θεοῦ· ἀλλὰ στέλλεται εἰς τὴν γέενναν, ὅπου ὁ κλαυθμὸς τῶν ὀφθαλμῶν καὶ ὁ βρυγμὸς τῶν ὀδόντων (Ματθ. κβ'. 14). «Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται» (Λουκ. ιβ'. 7). Ἐὰν δὲ αἱ τρίχες, νομίζω, εὐκολώτερον οἱ ὀδόντες. Εἰς μάτην δὲ θὰ ἦσαν ἠριθμημέναι, ἐὰν μέλλωσί ποτε νὰ καταστραφῶσιν. «Ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται»[1] (Ἰωάν. ε'. 25). Ἀκούουσι διὰ τῶν ὤτων, ἐκπορεύονται διὰ τῶν ποδῶν. Τοῦτο ἤδη πρότερον καὶ ὁ Λάζαρος ἐποίησεν. Ἐκπορεύονται δὲ ἐκ τῶν μνημείων, δηλονότι οἱ ἐν τοῖς μνημείοις κατακείμενοι νεκροὶ θ' ἀναστῶσιν ἐκ τῶν τάφων αὐτῶν. Ἐπειδὴ ἡ ἐκ τοῦ Θεοῦ δρόσος θεραπεύει αὐτὰ τὰ ὀστᾶ. Τότε θὰ πληρωθῇ ὅ,τι ὁ Κύριος εἶπε διὰ τοῦ Προφήτου: «Εἴσελθε ὁ λαός μου εἰς τὰ ταμεῖά σου, ἕως ἂν παρέλθῃ ἡ ὀργή μου». (Ἡσ. κστ'. 20). Ταμεῖα δηλοῦσι τοὺς τάφους, ὅθεν ἐκπορεύεται ὅ,τι ἐκρύβη· καὶ θὰ ἐξέλθωσιν ἐκ τῶν τάφων αὐτῶν ὡς νεβροὶ ἐλεύθεροι ἐκ τῶν δεσμῶν. Θὰ χαρῇ ἡ καρδία αὐτῶν, καὶ τὰ ὀστᾶ αὐτῶν ὡς ἥλιος θ' ἀνατείλωσιν, καὶ θὰ παρουσιασθῇ πᾶσα σὰρξ ἐνώπιον τοῦ Κυρίου, καὶ θὰ διατάξῃ τοὺς ἰχθύας τῆς θαλάσσης καὶ θὰ ἐμέσωσι τὰ ὀστᾶ, ἅτινα κατέφαγον καὶ θ' ἀποτελέσῃ τὴν ἀλληλουχίαν τῶν ὀστῶν, καὶ ὅσοι ἐν τῇ κόνει τῆς γῆς ἐκοιμήθησαν, θ' ἀναστῶσιν, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον (Δανιὴλ ιβ'. 2). Τότε οἱ δίκαιοι θὰ ἴδωσι τὰς τιμωρίας καὶ βασάνους τῶν ἀσεβῶν, «ὧν ὁ σκώληξ οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκὶ» (Ἡσ. ξστ'. 24).

Ὅσοι λοιπὸν κατέχομεν τὴν ἐλπίδα ταύτην, καθὼς παρεδώκαμεν τὰ μέλη ἡμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ ἐξ ἀνομίας εἰς ἀνομίαν, οὕτω νῦν ἀναδείξωμεν αὐτὰ δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν, ὥστε ἀνιστάμενοι ἐκ νεκρῶν, νὰ περιπατήσωμεν ἐν καινότητι ζωῆς. (Ρωμ. ς'. 19). Καθ' ὃν τρόπον καὶ ἡ ζωὴ τοῦ Κυρίου Ἰησοῦ ἐκδηλοῦται ἐν τῷ ἡμετέρῳ θνητῷ σώματι, καὶ ὅστις ἤγειρε τὸν Ἰησοῦν Χριστὸν

1) Ἐν τῷ Λατινικῷ ὑπάρχει: «Ἐκπορεύσονται».

Α.Π.Θ.

ἐκ τῶν νεκρῶν, θὰ ζωοποιήσῃ καὶ τὰ θνητὰ ἡμῶν σώματα διὰ τὸ ἐν ἡμῖν ἐνοικοῦν πνεῦμα αὐτοῦ (Β'. Κορ. δ'. 14). Εἶναι δὲ δίκαιον, ἵνα, καθὼς περιφέρωμεν πάντοτε τὴν ἀπονέκρωσιν τοῦ Χριστοῦ ἐν τῷ ἡμετέρῳ σώματι, ὁμοίως καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἀποκαλύπτηται ἐν τῷ ἡμετέρῳ θνητῷ σώματι, δηλονότι ἐν τῇ σαρκὶ θνητῇ μὲν κατὰ φύσιν, ἀθανάτῳ δὲ κατὰ χάριν. Ὁρᾷ καὶ ὁ Στέφανος τὸν Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Πατρὸς (Πράξ. ζ'.) καὶ ἡ χεὶρ τοῦ Μωϋσέως μετεβλήθη εἰς λευκότητα χιόνος, καὶ εἶτα ἀποκατέστη εἰς τὸ ἀρχαῖον αὐτῆς χρῶμα (Ἔξ. δ'.) καὶ χεὶρ ὑπῆρξεν ἐν ἑκατέρᾳ τῇ διαφορᾷ. Ὁ κεραμεὺς ἐκεῖνος τοῦ Ἱερεμίου, οὗ τὸ ἀγγεῖον, ὅπερ ἐποίησε διὰ τὴν σκληρότητα τῶν λίθων συνεθραύσθη, ἐκ τοῦ αὐτοῦ ὑλικοῦ καὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀποκατέστησεν ὅ,τι εἶχε καταθρυμματισθῇ (Ἱερεμ. ιη'. 3, 4). Ὅρα δέ μοι καὶ αὐτὴν τὴν λέξιν «ἀνάστασις», δηλοῦσαν οὐχὶ ὅτι ἕτερον καταστρέφεται, καὶ ἕτερον ἐγείρεται· καὶ τὸ ἀκόλουθον «τῶν νεκρῶν» καταδηλοῖ εἰδικῶς τὴν σάρκα· διότι ὅπερ ἐν τῷ ἀνθρώπῳ ἀποθνήσκει, τοῦτο καὶ ζωοποιεῖται. Ὁ τετραυματισμένος ἐκεῖνος ἐν τῇ ὁδοιπορίᾳ εἰς Ἱεριχώ, ὅλος μεταφέρεται εἰς τὸ πανδοχεῖον καὶ οἱ μώλωπες τῶν πληγῶν αὐτοῦ διὰ τῆς ἀθανασίας θεραπεύονται (Λουκ. ι'.).

34. ***Ἡ ἀλήθεια τῆς Ἀναστάσεως ἀποδειχθεῖσα ἐκ τῶν 40 ἡμερῶν. Διατί ὁ Χριστὸς ἔφαγε μετὰ τὴν Ἀνάστασιν; Ἡ πλάνη καὶ βλασφημία τοῦ Μαρκίωνος. Ἀπολλώνιος ὁ Τυανεὺς πρὸ τοῦ Δομετιανοῦ.***

Καὶ τὰ μνημεῖα ἠνεῴχθησαν ἐν τῇ Σταυρώσει τοῦ Κυρίου, ὅτε ὁ ἥλιος ἐσκοτίσθη, ἡ γῆ ἐσείσθη, καὶ πολλὰ σώματα τῶν ἁγίων ἠγέρθη, καὶ ἐνεφανίσθησαν ἐν τῇ ἁγίᾳ πόλει (Ματθ. κζ'.).

«Τίς, λέγει ὁ Ἠσαΐας, ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; οὕτως ὡραῖος ἐν στολῇ» (ξγ'. 1,). Ἐδὼμ ἑρμηνεύεται ἐπίγειος ἢ αἱματηρός. Βοσὸρ δέ, σάρξ, ἢ «ἐν πειρασμῷ». Δι' ὀλίγων καταδεικνύει ἅπαν τὸ μυστήριον τῆς Ἀναστάσεως ἤγουν καὶ τὴν πραγματικότητα τῆς σαρκὸς καὶ τὴν αὔξησιν τῆς δόξης. Καὶ σημαίνει: Τίς εἶναι οὗτος, ὅστις ἀναβαίνει ἐκ τῆς γῆς, ἀναβαίνει ἐκ τοῦ αἵματος (Γενεσ. μθ'. Ἡσ. ξγ'.), οὗτινος τὰ ἱμάτια, κατὰ τὴν προφητείαν τοῦ Ἰακώβ, ὅστις ἔδεσε τὴν ὄνον αὐτοῦ εἰς τὴν ἄμπελον, καὶ μόνος κατεπάτησε τὸν ληνόν, καὶ τὰ ἱμάτια αὐτοῦ εἶναι ἐρυθρᾶ μετὰ νέου οἴνου ἐκ Βοσόρ, ἤγουν ἐκ σαρκός, ἢ ἐκ τῶν θλίψεων τοῦ κόσμου (Ἰω. ιστ'. 33), ἐπειδὴ αὐτὸς ἐνίκησε τὸν κόσμον. Ὅθεν ἐρυθρᾶ καὶ στίλβοντα εἶναι τὰ ἱμάτια αὐτοῦ, διότι εἶναι ὡραῖος παρὰ τοὺς υἱοὺς

τῶν ἀνθρώπων (Ψαλμ. μδ΄. 3)· καὶ διὰ τὴν δόξαν τοῦ θριαμβεύοντος εἰς στολὴν λαμπρὰν μετεβλήθησαν· καὶ τότε δὲ περὶ τῆς σαρκὸς τοῦ Χριστοῦ ἐπληρώθη (Ἀσμ. Ἀσμ. η΄. 5). «Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς;» καὶ ὅπερ ἐν τῷ αὐτῷ βιβλίῳ γράφεται (α΄. 10) «ἀδελφιδός μου λευκὸς καὶ πυρρός».

Τοῦτον μιμοῦνται ὅσοι δὲν ἐμόλυναν τὰ ἱμάτια αὐτῶν μετὰ γυναικῶν (Ἀποκάλ. ιδ΄. 4)· ἐπειδὴ διέμειναν παρθένοι, ὅσοι ηὐνούχισαν ἑαυτοὺς ἕνεκα τῆς βασιλείας τῶν οὐρανῶν. Ὅθεν θὰ εἶναι ἐν λευκοῖς ἐνδύμασιν. Κατ' ἐκεῖνον τὸν χρόνον οἱ λόγοι τοῦ Κυρίου τελείως θὰ πραγματοποιηθῶσιν. «Πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλ' ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ» (Ἰω. ΣΤ΄. 39). Πάντα δηλονότι τὸν ἄνθρωπον, ὃν πάντα γεννώμενος ἀνέλαβεν. Τότε τὸ ἀπολεσθὲν πρόβατον, ὅπερ ἐπλανᾶτο εἰς τὸν κατώτερον (κόσμον), θὰ φέρηται ὅλον ἐπὶ τῶν ὤμων τοῦ Σωτῆρος, καὶ τὸ πρόβατον, ὅπερ ἐμαραίνετο ὑπὸ τῶν ἁμαρτημάτων, θὰ ὑποστηριχθῇ ὑπὸ τῆς ἐπιεικείας τοῦ Κριτοῦ. (Λουκ. ιε΄. 3). Τότε οἱ διατρυπήσαντες αὐτὸν καὶ οἱ κραυγάσαντες «Σταύρωσον Σταύρωσον» (Ἰω. ιθ΄. 6) θὰ ἴδωσιν ἐκεῖνον. Πάλιν καὶ πάλιν θὰ κτυπήσωσι τὰ στήθη αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν. Ἐκεῖναι αἱ γυναῖκες, αἷς ὁ Κύριος φέρων τὸν σταυρὸν ὡμίλησε: «Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν» (Λουκ. κγ΄. 28). Τότε θὰ πληρωθῇ ἡ προφητεία τῶν Ἀγγέλων, οἵτινες εἰς τοὺς ἐντρόμους Ἀποστόλους εἶπον: «Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν Οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν Οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν Οὐρανὸν» (Πραξ. α΄. 11). Τί δὲ σημαίνει, νὰ λέγῃ τις, ὅτι ὁ Κύριος μετὰ τὴν Ἀνάστασιν ἐπὶ 40 ἡμέρας ἔφαγε μετὰ τῶν Ἀποστόλων, ἵνα μὴ θεωρηθῇ ὡς φάντασμα, καὶ ἔπειτα διαβεβαιοῖ, ὅτι ἦτο φάντασμα, ὅπερ ἔφαγε καὶ ἐφάνη ἐν σαρκὶ καὶ ἐν μέλεσιν; Ὅ,τι ἐφαίνετο εἶνε εἴτε ἀληθὲς εἴτε ψευδές. Ἐὰν μὲν ἀληθές, τότε ἀληθῶς ἔφαγε καὶ ἀληθῶς εἶχε μέλη· ἐὰν δὲ ψευδές, πῶς ἤθελε νὰ δείξῃ πράγματα ψευδῆ, ἵν' ἀποδείξῃ τὴν πραγματικότητα τῆς ἀναστάσεως; Ἐπειδὴ οὐδεὶς ἀποδεικνύει τὸ ἀληθὲς διὰ τοῦ ψευδοῦς. Θὰ ἐρωτήσῃς λοιπόν, ἆρά γε καὶ ἡμεῖς θὰ τρώγωμεν μετὰ τὴν ἀνάστασιν; Ἀγνοῶ. Ἐπειδὴ δὲν ὑπάρχει ἐν ταῖς Γραφαῖς, καὶ ὅμως ἐὰν ἐρωτηθῶ, νομίζω, ὅτι δὲν θὰ τρώγωμεν. Ἐπειδὴ ἀνέγνων, ὅτι ἡ βασιλεία τοῦ Θεοῦ δὲν εἶναι βρῶσις καὶ πόσις καὶ ἐπαγγέλλεται ἡμῖν «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη» (Α΄. Κορ. β΄. 9). Ὁ Μωϋσῆς καὶ Ἠλίας ἐνήστευσαν ἐπὶ 40 ἡμέρας καὶ νύκτας (Ἡσ.

ξε'. 4. Δευτερ. θ'.). Τοῦτο ἡ φύσις τῶν ἀνθρώπων δὲν ἀνέχεται, ἀλλ' ὅπερ εἶναι ἀδύνατον τῷ ἀνθρώπῳ, τῷ Θεῷ εἶναι δυνατόν. (Γ'. Βασιλ. ιθ'.). Καθὼς ὁ προλέγων τὰ μέλλοντα, δὲν ἐνδιαφέρει, ἐὰν προαναγγέλῃ αὐτὰ μετὰ 10 ἢ 100 ἔτη, ἐπειδὴ μία εἶναι ἡ ἐπιστήμη τῶν μελλόντων, οὕτω καὶ ἐκεῖνος, ὅστις δύναται νὰ νηστεύσῃ 40 ἡμέρας καὶ ζῇ, δὲν σημαίνει ὅτι νηστεύει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅτι ζῇ διὰ τῆς δυνάμεως τοῦ Θεοῦ· καὶ ἐς ἀεὶ θὰ δυνηθῇ νὰ ζῇ ἄνευ φαγητοῦ καὶ ποτοῦ. Διατί δὲ ὁ Κύριος ἔφαγεν μελίκηρον; ἵν' ἀποδείξῃ τὴν Ἀνάστασιν, καὶ ὄχι ἵνα ἐπιτρέψῃ τὸ μέλι εἰς τοὺς φάρυγγάς σου. Ἰχθῦν ἐπ' ἀνθράκων ἐζήτησεν, ἵνα διαβεβαιώσῃ τοὺς δυσπιστοῦντας Ἀποστόλους, νομίζοντας, ὅτι θεωροῦσι πνεῦμα καὶ ὄχι σῶμα. Ἡ θυγάτηρ τοῦ ἀρχισυναγώγου ἐγείρεται καὶ τρώγει· ὁ Λάζαρος τετραήμερος ἀνίσταται καὶ δειπνεῖ, ὄχι διότι θὰ ἔτρωγεν εἰς τὸν Ἅδην, ἀλλ' ἐπειδὴ ἡ δυσκολία τοῦ ἔργου ἀπῄτει τὴν ἀμφιβολίαν τῆς πίστεως. Καθὼς τὰς ἀληθεῖς χεῖρας καὶ τὴν ἀληθῆ πλευρὰν ἔδειξεν, οὕτω συνέφαγε τοῖς Ἀποστόλοις· ἀληθῶς περιεπάτησε μετὰ τοῦ Κλεόπα, ἀληθῶς ὡμίλησε διὰ γλώσσης πρὸς τοὺς ἀνθρώπους, ἀληθῶς ἀνεκλίθη ἐν τῷ δείπνῳ, διὰ τῶν ἀληθῶν χειρῶν ἔλαβε τὸν ἄρτον, ηὐλόγησε καὶ ἔκλασε καὶ ἔδωκεν ἐκείνοις. Ὅτι δὲ ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν αἰφνιδίως ἄφαντος ἐγένετο, τοῦτο εἶναι ἴδιον τῆς δυνάμεως τοῦ Θεοῦ καὶ ὄχι σκιᾶς καὶ φαντάσματος. Ἔτι δὲ καὶ πρὸ τῆς Ἀναστάσεως, ὅτε ἐξήγαγον αὐτὸν ἐκ τῆς Ναζαρὲτ ἐπὶ τῆς ὀφρύος τοῦ ὄρους, ἵνα αὐτὸν κατακρημνίσωσι, διῆλθε διὰ μέσου αὐτῶν, δηλ. ὠλίσθησεν ἐκ τῶν χειρῶν αὐτῶν. Μὴ ἄρα δυνάμεθα κατὰ τὸν Μαρκίωνα νὰ εἴπωμεν, ὅτι διὰ τοῦτο ἡ γέννησις αὐτοῦ ὑπῆρξε φανταστική, ἐπειδὴ αὐτὸς ὅστις ἐκρατεῖτο, διέφυγε παρὰ φύσιν; Ὅ,τι οἱ Μάγοι δύνανται, τοῦτο δὲν δύναται καὶ ὁ Κύριος; Λέγεται, ὅτι Ἀπολλώνιος ὁ Τυανεύς, ὅτε ἵστατο πρὸ τοῦ Δομετιανοῦ ἐν τῷ συνεδρίῳ, αἰφνιδίως ἐξηφανίσθη. Μὴ ἐξίσου τὴν δύναμιν τοῦ Κυρίου πρὸς τὰ τεχνάσματα τῶν μάγων, ἵνα φαίνηται, ὅτι ὑπῆρξεν, ὅ,τι δὲν ὑπῆρξεν, καὶ θεωρεῖται ὅτι ἔφαγεν ἄνευ ὀδόντων, περιεπάτησεν ἄνευ ποδῶν, ἔκλασε τὸν ἄρτον ἄνευ χειρῶν, ὡμίλησεν ἄνευ γλώσσης καὶ ἔδειξε τὴν πλευρὰν ἄνευ πλευρῶν.

(ἀκολουθεῖ)

*Τ. Π. ΘΕΜΕΛΗΣ*

# ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΑΒΑ

## ΥΠΟ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΣΚΥΘΟΠΟΛΙΤΟΥ*)

***Σιναϊτικὸς μεμβράνινος Κῶδιξ ὑπ' ἀριθμ. 494, αἰῶνος Θ'.***
***Φύλ. 1α—135β.***

Ταῦτα καὶ τὰ τοιαῦτα λέγοντες ἀνεχώρησαν ἄφνω ἀπὸ τοῦ ὄρους ἐκείνου ὁμοθυμαδὸν ἐν αὐτῷ τῷ μεσονυκτίῳ, ὡς πλῆθος κοράκων φαινόμενοι, μετὰ κτύπου τινὸς καὶ θορύβου ἀτάκτου· καὶ ποιμένες ἦσαν κατὰ τὴν περὶ τὸ ὄρος ἐκεῖνο ἔρημον, ἀγρυπνοῦντες καὶ φυλάσσοντες τὴν ἑαυτῶν ποίμνην, οἵτινες τὸν θόρυβον τῶν κοράκων βλέποντες, καὶ τῶν φωνῶν ἀκούοντες καὶ λίαν φοβηθέντες, ἔλεγον πρὸς ἑαυτούς· Μᾶλλον ἅγιοί τινες ἄνδρες μένουσιν ἐν τῷ Καστελλίῳ, καὶ τὰ ἐκεῖσε δαιμόνια πεφυγάδευσαν· ἀλλὰ διέλθωμεν δὴ ἕως τοῦ βουνοῦ καὶ ἴδωμεν τί τὸ γεγονός, καί, εἴπερ εἰσὶν ἐκεῖσε ἄνδρες ἅγιοι, προσκυνήσωμεν αὐτούς. Καὶ γενομένης πρωΐας ἀνέβησαν εἰς τὸν τοῦ Καστελλίου βουνὸν καὶ εὑρόντες τὸν ἅγιον πρεσβύτην μονώτατον, διηγήσαντο αὐτῷ ὅσα τῇ νυκτὶ εἶδον καὶ ἤκουσαν. Ὁ δὲ ἅγιος εἶπε πρὸς αὐτούς· Ὑπάγετε, τέκνα, ἐν εἰρήνῃ καὶ «τὸν φόβον αὐτῶν μὴ φοβηθῆτε» (Α'. Πέτρ. γ'. 14)· καὶ οὕτως θαρσοποιήσας αὐτοὺς ἀπέλυσεν ἐν εἰρήνῃ. Πληρωθέντων δὲ τῶν ἡμερῶν τῆς νηστείας, ἦλθεν εἰς τὴν Λαύραν, καὶ ποιήσας τὴν πασχαλίαν ἑορτὴν(1), ἔλαβέ τινας τῶν Πατέρων καὶ ἦλθεν εἰς τὸ Καστέλλιον, καὶ ἤρξατο ἀνακαθαίρειν τὸν τόπον(2), καὶ κτίζειν

*) Ἴδε «Νέα Σιών» Τόμος ΙΓ'. Τεῦχος Θ'.—Ι'. σελ. 750—765.

1) Κατὰ τὸ ἔτος 492 τὸ Πάσχα συνέπεσε τῇ 15 Απριλίου.

2) «Τοῦ Καστελλίου καθαρισθέντος ἐκ τῆς τῶν δαιμόνων οἰκήσεως, ὡς

ΑΠΘ

κελλία ἐκ τῆς εὑρεθείσης ὕλης. Ἐν τῷ οὖν ἀνακαθαίρειν εὑρίσκουσιν ὑποκάτω τῆς ὕλης οἶκον βιωτικὸν μέγαν ἀπὸ λίθων θαυμαστῶν κεκαμαρωμένον· ὅν τινα ἐκχοΐσας καὶ διακοσμήσας ἐκκλησίαν πεποίηκε. Καὶ ἐκ τούτου λοιπὸν ἐσκέψατο τὸν τόπον κοινόβιον ποιῆσαι· ὅπερ καὶ γέγονε. Αὐτοῦ δὲ ἐν τούτῳ τῷ Καστελλίῳ κοπιῶντος μετὰ τῶν ἀδελφῶν καὶ μηδὲν τῶν πρὸς τροφὴν ἐπιτηδείων ἐχόντων περὶ τὸν Αὔγουστον μῆνα, ἀποκαλύπτεται τῷ ἐν ἁγίοις Ἀββᾷ Μαρκιανῷ[1], περὶ τὴν ἁγίαν κοινοβιαρχοῦντα Βηθλεέμ, τὰ κατὰ τὸν θεῖον πρεσβύτην. Ἑώρα γὰρ ἐν μιᾷ νυκτὶ μορφήν τινα ἀγγελικὴν ἀπαστράπτουσαν καὶ λέγουσαν πρὸς αὐτόν· Ἰδοὺ σύ, Μαρκιανέ, καθέζῃ ἐν ἀνέσει ἔχων πάντα τὰ πρὸς τροφὴν τοῦ σώματος, ὁ δὲ δοῦλος τοῦ Θεοῦ Σάβας κοπιᾷ ἐν τῷ Καστελλίῳ μετὰ ἀδελφῶν τινων διὰ τὴν πρὸς Θεὸν ἀγάπην, πεινῶν, καὶ μηδενὸς τῶν πρὸς τροφὴν ἐπιτηδείων εὐπορῶν, ἀλλὰ θέλησον ἀνυπερθέτως ἀποστεῖλαι αὐτοῖς τροφάς, ἵνα μὴ ἀθυμήσωσιν. Ὁ δέ γε μέγας Μαρκιανὸς παραυτίκα διαναστὰς ἐκέλευσε στρωθῆναι τὰ ἄλογα τοῦ κοινοβίου, καὶ ταῦτα φορτώσας διάφορα βρώματα, ἀπέστειλεν εἰς τὸ Καστέλλιον μετὰ ἀδελφῶν· οὕς τινας ἀδελφοὺς μετὰ τοῦ φορτίου δεξάμενος ὁ θεῖος πρεσβύτης, τὰς εὐχαριστηρίους φωνὰς τοῦ τε Δαβὶδ καὶ τοῦ Δανιὴλ ἐπὶ τῇ τοῦ Θεοῦ ἐπισκοπῇ προσφόρως ἐμελέτα, καὶ γέγονε περὶ τὴν τοῦ κοινοβίου οἰκοδομὴν προθυμότερος. Ὁ μέντοι ἐν ἁγίοις Μαρκιανὸς μετὰ τὴν εἰρημένην ἀποκάλυψιν τέσσαρας μῆνας ἐπιβιώσας, εἰς τὸν ἀγήρω καὶ

ἤδη μοι εἴρηται εἰς τὸν περὶ τοῦ ἐν ἁγίοις Σάβα λόγον, πολλὰ μετὰ τοῦ πατρὸς ἡμῶν Σάβα κεκοπίακεν αὐτόθι σὺν ἄλλοις τισίν, ὡς αὐτός μοι διηγήσατο (Ἰωάννης ὁ Ἡσυχαστής), ἡνίκα καὶ ὁ ἐν ἁγίοις Ἀββᾶς Μαρκιανός, κατὰ θείαν ἀποκάλυψιν, ἀπέστειλεν αὐτοῖς τροφὰς πεινῶσι καὶ μηδενὸς τῶν πρὸς τροφὴν ἐπιτηδείων εὐποροῦσιν» (Βίος Ἰωάν. Ἡσυχαστοῦ κεφ. 6).

1) Ὁ Μαρκιανὸς ἐμόνασε πρότερον ἐν τῇ τοῦ Ἀββᾶ Πασσαρίωνος μονῇ, βραδύτερον δὲ (451) ἀνεδείχθη εἷς ἐκ τῶν θερμοτέρων ὀπαδῶν τοῦ μονοφυσιτισμοῦ (Βίος ἁγ. Εὐθυμ. κεφ. λγ). Τῷ 454 ἔκτισεν ἴδιον μοναστήριον κείμενον ἐν τῇ ἀπὸ Βηθλεὲμ εἰς τὴν τοῦ Ἀββᾶ Θεοδοσίου μονὴν ἀγούσῃ ὁδῷ (Βίος Θεοδοσ. κεφ. 61, 62). Ἐπανελθὼν εἰς τοὺς κόλπους τῆς ὀρθοδοξίας (484. Ἔνθ. ἀν. κεφ. μη΄.), προάγεται εἰς ἀρχιμανδρίτην πάντων τῶν μοναχῶν ὑπὸ τοῦ Πατριάρχου Σαλλουστίου (497. Ὅρα κεφ. λ΄. τοῦ παρόντος βίου), τῇ δὲ 23 Νοεμβρίου τοῦ 493 ἔτους τελευτᾷ.

ἄλυπον μετέστη βίον(1), μηνὸς Νοεμβρίου εἰκάδι τρίτῃ τῆς πρώτης Ἰνδικτιῶνος· καὶ οὕτως μέν ἐστι ὁ τῆς τοῦ Καστελλίου συστάσεως καὶ τῆς τοῦ θείου Ἀββᾶ Μαρκιανοῦ τελευτῆς ἀκριβέστατος χρόνος. Ὁ δὲ μέγας πατὴρ ἡμῶν Σάβας πληροφορηθεὶς θεραπεύεσθαι τὸν Θεὸν ἐπὶ τῷ ἑαυτοῦ κόπῳ, ἐπλήρωσε τὴν τοῦ κοινοβίου οἰκοδομὴν σπουδῇ καὶ προθυμίᾳ πολλῇ χρησάμενος· καὶ συνοδίαν ἱκανὴν αὐτόθι περιποιησάμενος, Παῦλόν τινα ἀρχαῖον ἀναχωρητὴν ἅμα Θεοδώρῳ τῷ μαθητῇ ἑαυτοῦ διοικητὴν τοῦ τόπου κατέστησε. Τοῦ δὲ Παύλου τελειωθέντος, κρατήσας τῆς διοικήσεως Θεόδωρος, τόν τε ἴδιον ἀδελφὸν Σέργιον καὶ Παῦλον τὸν ἑαυτοῦ θεῖον προσελάβετο, Μελιτηνοὺς ὄντας τῷ γένει· οἵτινες κατὰ καιροὺς τοῦ Καστελλίου καλῶς ἡγησάμενοι τῆς τε Ἀμαθοῦντος(2) καὶ τοῦ Ἀϊλᾶ(3) τὰς ἱεραρχίας διεξέξαντο· καὶ ταῦτα μὲν περὶ τοῦ Καστελλίου.

ΚΗ΄. Ὁ δὲ πατὴρ ἡμῶν Σάβας τὸ τοῦ Καστελλίου κοινόβιον συστησάμενος, πᾶσαν σπουδὴν ἐποιεῖτο καταφυτεῦσαι εἰς αὐτὸ ἄνδρας προβεβηκότας καὶ ἐν μοναχικῇ πολιτείᾳ διαπρέποντας· καὶ ὅταν κοσμικούς τινας ἐδέχετο ἀποτάξασθαι βουλομένους, οὔτε εἰς τὸ Καστέλλιον, οὔτε ἐν τῇ Λαύρᾳ εἰς κελλία ἤφιεν αὐτοὺς οἰκῆσαι, ἀλλὰ μικρὸν κοινόβιον πρὸς τὸ ἀρκτῷον μέρος τῆς Λαύρας(4) συστησάμενος, καὶ ἄνδρας ἐστυμμένους καὶ

Α.Π.Θ.

1) «***Μηνὸς Νοεμβρίου—ἀκριβέστατος χρόνος***» ἐλλείπουσιν ἐκ τοῦ κειμένου τοῦ Κοτελερίου.

2) «***Λέγεται καὶ νῦν Ἀμαθοῦς κώμη ἐν τῇ Περαίᾳ τῇ κατωτέρᾳ Πέλλων διεστῶσα σημείοις καὶ εἰς νότον***» (Ὀνομαστικὸν Lagarde σ. 239)· «***αἱρεῖ δὲ καὶ Ἀμαθοῦντα μέγιστον ἔρυμα τῶν ὑπὲρ τὸν Ἰορδάνην κατῳκημένων***» (Ἰώσηπ. ἀρχ. ιγ΄. 13, 3). Ἡ Ἀμαθοῦς δὲν ἀπαντᾶται ὡς ἐπισκοπὴ ἐν τῷ τακτικῷ τοῦ Ἱεροσολυμιτικοῦ Θρόνου.

3) «***Αἰλία ἡ καὶ Ἀϊλὰ*** (νῦν Ἄκαμπα) ***χώρα παράλιος εἰς τὴν Ἐρυθρὰν θάλασσαν, ἀπέχουσα τῆς τῶν Ἡρώων*** (νῦν Σουέζ) ***πόλεως μιλίῳ ρν΄. δυτικωτέρα τοῦ ὄρους Σινᾶ, ἀφ' οὗ ἀπέχει μίλια ἑξήκοντα***» (Ἱεροσόλυμα σ. τπα΄).

4) «***Καὶ ταύτην αὐτοῦ*** (Ἰωάννου τοῦ Ἡσυχαστοῦ) ***ἐκτελοῦντος τὴν διακονίαν*** (τοῦ οἰκονόμου), ***συνέβη κτισθῆναι τὸ πρὸς βορρᾶν ἔξω τῆς Λαύρας κοινόβιον πρὸς τὸ ἐκεῖσε τοὺς ἀποτασσομένους τῷ βίῳ, τὴν μοναχικὴν πρότερον εἰς αὐτὸ παιδεύεσθαι πολιτείαν, εἶθ' οὕτως εἰς τὴν λαύραν οἰκεῖν τὸν κοινοβιακὸν κανόνα ἀκριβῶς διδαχθέντας, τοῦ μακαρίου Σάβα διαβεβαιουμένου καὶ λέγοντος, ὅτι ὥσπερ ἄνθος προηγεῖται καρποφορίας, οὕτως ὁ κοινοβιακὸς βίος τοῦ ἀναχωρητικοῦ προηγεῖται***» (Βίος Ἰωάνν. Ἡσυχαστοῦ κεφ. 7). Τὸ κοινόβιον τοῦτο ἴσως ἔκειτο ἔνθα νῦν τὸ παρεκκλήσιον τῆς ἁγίας Σοφίας.

νηφαλίους καταστήσας, ἐκεῖ τοὺς ἀποτασσομένους ἐμμένειν ἐκέλευεν, ἕως οὗ τό τε ψαλτήριον μάθωσι καὶ τὸν κανόνα τῆς ψαλμῳδίας καὶ τὴν μοναχικὴν ἐκπαιδευθῶσιν ἀκρίβειαν(1)· αὐτοῦ πάντοτε λέγοντος, ὅτι δεῖ τὸν κελλιώτην εἶναι μοναχὸν διακριτικὸν καὶ σπουδαῖον ἀγωνιστήν, νηφάλιόν τε καὶ σώφρονα, κόσμιον, διδακτικόν, οὐ μέντοι διδασκαλίας χρῄζοντα, ἱκανὸν τὰ μέλη τοῦ σώματος χαλιναγωγῆσαι καὶ τὸν νοῦν τηρεῖν ἀσφαλῶς. Τὸν γὰρ τοιοῦτον, μονότροπον οἶδα τὴν Γραφὴν ὀνομάζουσαν, ἐν τῷ λέγειν «Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ» (Ψαλμ. ξζ'. 7). Ὅτε δὲ ἐδοκίμαζε τοὺς ἀποταξαμένους(2) τόν τε τῆς ψαλμῳδίας κανόνα ἀκριβῶς μεμαθηκότας, καὶ ἱκανοὺς γενομένους τὸν ἑαυτῶν νοῦν τηρεῖν καὶ καθαρεύειν τῆς τῶν κοσμικῶν μνήμης τὴν διάνοιαν, καὶ πρὸς τοὺς ἀλλοτρίους λογισμοὺς ἀνταγωνίζεσθαι, τότε παρεῖχεν ἑαυτοῖς κελλία εἰς τὴν Λαύραν· εἰ δὲ εἶεν δυνατοί, ἐπέτρεπεν αὐτοῖς οἰκοδομῆσαι, διαβεβαιούμενος καὶ λέγων· ὅτι ὅστις ἐν τῷ τόπῳ τούτῳ κτίσῃ κελλίον ἢ ἐπικτίσει, οὕτως ἐστὶν ὡς ἐκκλησίαν Θεοῦ κτίζων.

ΚΘ'. Ταῦτα ποιῶν καὶ διδάσκων ὁ πατὴρ ἡμῶν Σάβας, ἀγένειον παντελῶς οὐ συνεχώρει συνοικῆσαι τῇ ὑπ' αὐτὸν συνοδίᾳ, μὴ πληρώσαντα τὴν ὄψιν γενείων, διὰ τὰ σκάνδαλα τοῦ πονηροῦ· καὶ εἴ ποτέ τινα ἀγένειον, ἐν τελείᾳ ὄντα ἡλικίᾳ, βουλόμενον ἀποτάξασθαι, ἐδέχετο τοῦτον, τῷ τρισμακαρίῳ Θεοδοσίῳ, ἐκ τῆς τοῦ Καθίσματος ἐκκλησίας ἤδη ἀναχωρήσαντι(3), καὶ ὑπὸ Μαρίνου τοῦ τὴν Φωτεινοῦ λεγομένην μονὴν συστησαμένου, καὶ Λουκᾶ τοῦ Μετωπηνοῦ τῶν πάλαι ὑπὸ τοῦ ὁσίου Εὐ-

1) Καὶ ὁ ἐν τῷ Ἰορδάνῃ Ἀββᾶς Γεράσιμος «***τοὺς ἀρχαρίους ἐν τῷ κοινοβίῳ μένειν καὶ παιδαγωγεῖσθαι τὴν μοναχικὴν πολιτείαν ἐνομοθέτησε***» (Βίος κεφ. 2).

2) «***Ὅτε δὲ ἐδοκίμαζε τοὺς ἀποταξαμένους--ἐπέτρεπεν αὐτοῖς οἰκοδομῆσαι***» (παρὰ Νικηφόρῳ μονάζοντι λόγ. περὶ φυλακῆς καρδίας, Φιλοκαλία τόμ. β'. σ. 238, ἔκδ. Ἀθηνῶν 1893), μετὰ τὰ ὁποῖα προστίθησιν· «***ὁρᾷς πῶς καὶ ὁ θεσπέσιος Σάβας τὴν τοῦ νοὸς φυλακὴν ἀπῄτει τοῖς μαθηταῖς, καὶ οὕτως αὐτοῖς παρέχων κελλία συνεχώρει καθίσαι; τί πράξομεν ἡμεῖς οἱ ἀργῶς ἐν κελλίοις καθήμενοι, καὶ οὐδέ, εἰ ἔστι νοὸς τήρησις, ἐπιστάμενοι***».

3) Τελευτήσας ὁ ἡγούμενος «***ψηφίζονται συμφώνως ἅπαντες Θεοδόσιον εἰς τὴν τοῦ Καθίσματος ἐκκλησίαν· αὐτὸς δὲ γνοὺς καὶ τὸν τῆς ἀρχῆς κίνδυνον ὑφορώμενος φυγὰς ᾤχετο. Καὶ πρῶτον μὲν ἔρχεται εἰς τοὺς περὶ τὰ Μέτωπα τόπους πρός τε τὸν μακαρίτην Μαρῖνον τὸν ἀναχωρητὴν καὶ πρὸς***

Α.Π.Θ.

θυμίου(1) παιδευθέντων, εἰς μοναχικὴν τελειότητα προβιβασθέντι, καὶ ὡς ἀπὸ τριάκοντα πέντε σταδίων οἰκήσαντι πρὸς δυσμάς, καὶ κοινόβιον αὐτόθι τῇ τοῦ Χριστοῦ συνεργίᾳ συνιστῶντι περιφανέστατον. Καὶ ὁ μὲν πατὴρ ἡμῶν Σάβας ἀποστέλλων, ὡς εἴρηται, ἀδελφὸν τῷ μεγάλῳ Θεοδοσίῳ, πρῶτον τοιαῦτα αὐτὸν ἐνουθέτει λέγων· Τέκνον, ἀπρεπές ἐστι, μᾶλλον δὲ ἐπιβλαβές, τὸ τὴν τοιαύτην Λαύραν ἔχειν ἀγένειόν τινα· τοῦτο δὲ καὶ οἱ ἀρχαῖοι τῆς Σκήτεως πατέρες ἐνομοθέτησαν(2), κἀμοὶ δὴ παραδεδώκασιν οἱ περὶ τὸν μέγαν πατέρα ἡμῶν Εὐθύμιον. Βουληθέντα γάρ με τὴν αὐτοῦ Λαύραν οἰκῆσαι, ἀγένειον θεασάμενος, τῷ μακαρίῳ Θεοκτίστῳ ἀπέστειλε, λέγων, ὅτι ἄτοπόν ἐστι καὶ ἐπιβλαβὲς ἀγένειον ἐν Λαύρᾳ οἰκεῖν(3)· καὶ αὐτὸς οὖν ἄπιθι, τέκνον, πρὸς τὸν Ἀββᾶν Θεοδόσιον, κἀκεῖσε χρησιμεύσῃς. Ὁ δὲ μέγας Θεοδόσιος δεχόμενος τὸν παρ' αὐτοῦ πεμπόμενον ἀδελφόν, ἔσπευδε πᾶσι τρόποις θεραπεῦσαι αὐτόν, διὰ τὸν ἀποστείλαντα· γεγόνασι γὰρ ὁμόψυχοι καὶ ὁμόφρονες, πνέοντες ἀλλήλους μᾶλλον ἢ τὸν ἀέρα, ὥστε τὴν κατὰ Θεὸν ὁμόνοιαν αὐτῶν καὶ συμφωνίαν τοὺς Ἱεροσολυμίτας καλεῖν νέαν ἀποστολικὴν ζυγὴν Πέτρου καὶ Ἰωάννου.

Λʹ. Ὅθεν τοὺς ἀμφοτέρους αὐτοὺς ἀρχιμανδρίτας καὶ τῶν μοναχῶν ἐξάρχους πεποίηκεν ὁ ἐν ἁγίοις ἀρχιεπίσκοπος Σαλλούστιος, μέλλων ἐν Χριστῷ τελειοῦσθαι αἰτηθεὶς παρὰ παντὸς τοῦ μοναχικοῦ σχήματος· τίς δὲ ἡ αἰτία γέγονε τῆς

***τὸν Αββᾶν Λουκᾶν τὸν Μετωπηνόν, καὶ τὸν τῆς ἐρήμου κανόνα παρ' αὐτῶν ἐκμανθάνει, οὓς ἐν πρώτοις ὁ ἐν Ἁγίοις Εὐθύμιος τὴν μοναχικὴν ἐπαίδευσεν ἀκρίβειαν. Τούτους οὖν ἐπὶ χρόνους τινὰς προσκαρτερήσας ὁ Ἀββᾶς Θεοδόσιος, ἦλθεν εἰς τὴν κορυφήν, ἐν ᾗ νῦν σὺν Θεῷ ἵδρυται ἡ ἁγία αὐτοῦ μονή»*** (Βίος κεφ. 1).

1) Βίος ἁγίου Εὐθυμίου κεφ. ιʹ. σ. 13. Ἡ λαύρα τοῦ Φωτεινοῦ (νῦν Χίρμπετ Φωτινὲ) κεῖται ἐν τῇ μικρᾷ κώμῃ Τούμπα ἀριστερόθεν τῆς ὁδοῦ τῆς ἀγούσης ἐξ Ἱεροσολύμων εἰς Βηθλεέμ.

2) Ὑπῆρχε γνώμη παρὰ τοῖς ἐρημίταις, ὅτι «οὐ φέρει ὁ Θεὸς τὰ παιδία εἰς τὴν ἔρημον, ἀλλ' ὁ σατανᾶς, ἵνα καταστρέψῃ τοὺς εὐσεβῶς θέλοντας ζῆν» (Γεροντικὸν φύλ. 235β, Σιναϊτικὸς μεμβρ. κῶδ. ιαʹ. αἰῶν. ὑπ' ἀρ. 448· ὁ δὲ ἐν Νιτρίᾳ πρεσβύτερος Ἰσαὰκ ἔλεγε τοῖς ἀδελφοῖς: «μὴ φέρετε ὧδε παιδία, τέσσαρες γὰρ ἐκκλησίαι εἰς Σκήτην ἔρημοι γεγόνασι διὰ τὰ παιδία» (Αὐτόθ. φύλ. 63α).

3) Ὅρ. Βίον ἁγίου Εὐθυμίου κεφ. λδʹ. σ. 55.

τούτων προβολῆς, δι' ὀλίγων ἐρῶ(1). Ἐλπιδίου(2) καὶ Ἠλία τοῦ ἐν ἁγίοις Πασσαρίωνος διαδόχων τελευτησάντων ἀρχιμανδριτῶν κατὰ διαδοχὴν ὄντων, καὶ Λαζάρου τινὸς τὴν ἐκείνων ἡγουμενίαν διαδεξαμένου, ἀποσχίσαντος τῆς καθολικῆς κοινωνίας, ἀποθανόντος, καί τινος Ἀναστασίου διαδεξαμένου τὴν ἡγουμενίαν, ἀναρχία τις ἡ καὶ πολυαρχία ἐν τοῖς μοναχοῖς τὸ τηνικαῦτα ἐκράτει, ἐξ ὧν πέφυκε γίνεσθαι ἀταξία τε καὶ στάσις. Ὅθεν ἐν συγχύσει τοῦ μοναχικοῦ ὑπάρχοντος, Λαζάρου ἤδη καὶ Ἀναστασίου τῶν κατὰ διαδοχὴν ἀρχιμανδριτῶν ἐξησθενικότων ἐκ τοῦ τόνου τῆς μοναχικῆς ἀκριβείας, καὶ ταῖς γηΐναις φροντίσι καὶ κοσμικαῖς προσόδοις προσασχοληθέντων, ὅτε μάλιστα τὴν βασιλείαν Ζήνωνος Ἀναστασίου διαδεξαμένου(3), καὶ τοῖς ἀποσχίσταις παρρησίαν δεδωκότος, τότε διαναστὰς ὁ ἐν ἁγίοις Σαλλούστιος, τὸν ἀνωτέρω μνημονευθέντα Ἀββᾶν Μαρκιανὸν ἀρχιμανδρίτην τῶν μοναχῶν πεποίηκεν. Ὀλιγίστου δέ τινος χρόνου διελθόντος, καὶ Μαρκιανοῦ ἐν Χριστῷ κοιμηθέντος(4), πάντων τῶν τῆς ἐρήμου μοναχῶν ἐν τῷ ἐπισκοπείῳ παρὰ τῷ πατριάρχῃ ἀρρωστοῦντι συναθροισθέντων, προεβλήθησαν κατὰ κοινὴν ψῆφον Θεοδόσιος καὶ Σάβας ἀρχιμανδρῖται καὶ ἔξαρχοι(5) πάντων τῶν ὑπὸ τὴν ἁγίαν πόλιν μοναστηρίων, ὡς ἐρημῖται καὶ ἀκτήμονες(6), καὶ βίῳ καὶ λόγῳ κεκοσμημένοι, καὶ τοῖς θείοις κομῶντες χαρίσμασιν. Ἀπὸ τότε τοίνυν ὁ μὲν Ἀββᾶς Θεοδόσιος ἀρχηγὸς γέγονε καὶ ἀρχιμανδρίτης παντὸς τοῦ κοι-

1) Ἐνταῦθα ἄρχεται τὸ λ΄. κεφ. ἐν τῷ κειμένῳ τοῦ Κοτελερίου.

2) Ὁ Ἐλπίδιος ἐγένετο διάδοχος τοῦ Πασσαρίωνος (428) ἐν τῷ ὑπ' αὐτοῦ ἱδρυθέντι μοναστηρίῳ ἐν Ἱεροσολύμοις, βραδύτερον (451) προσῆλθεν εἰς τὸν Μονοφυσιτισμόν, ἀλλ' ἀποπτύσας τοῦτον (451), ἐπανῆλθεν εἰς τοὺς κόλπους τῆς ὀρθοδοξίας (ὅρ. Βίον ἁγ. Εὐθυμίου κεφ. λγ΄.).

3) Ἐν ἔτει 461.

4) Τῇ 23 Νοεμβρίου 493 (ὅρ. κεφ. κζ΄.).

5) Ἀλλαχοῦ ὁ Κύριλλος καλεῖ αὐτούς· «**τοὺς τῶν μοναχῶν κορυφαίους καὶ ἡγεμόνας**» (κεφ. νστ΄.), «**οἱ τῶν μοναχῶν ταξίαρχοι**» (κεφ. νζ), «**ἀρχιμανδρίτας**» (κεφ. ξε΄.).

6) «Ὡς ἐρημίτας καὶ ἀκτήμονας καὶ τὰ θεῖα καλῶς ἠσκημένους, καὶ τὴν μοναχικὴν ἀκρίβειαν καλῶς κατορθώσαντας καὶ πρὸς θεοσέβειαν πολλοὺς ἀγαγόντας» (ὅρ. κεφ. ξε΄.).

νοβιακοῦ κανόνος[1], ἔχων μεθ' ἑαυτοῦ τὸν δευτερεύοντα τῆς τῶν κοινοβίων καταστάσεως καὶ φροντίδος, τὸν ἐν ἁγίοις Παῦλον, τὸν τῆς τοῦ μακαρίου Μαρτυρίου μονῆς ἡγούμενον, ὁ δὲ πατὴρ ἡμῶν Σάβας ἄρχων κατεστάθη[2] καὶ νομοθέτης παντὸς τοῦ ἀναχωρητικοῦ βίου, καὶ πάντων τῶν ἐν ταῖς κέλλαις ζῆν προαιρουμένων[3].

ΛΑ΄. Τοῦ μέντοι πατριάρχου Σαλλουστίου ἐπὶ ὀκτὼ χρόνους καὶ μῆνας τρεῖς τοῦ Ἱεροσολύμων θρόνου κρατήσαντος καὶ ἐν Χριστῷ κοιμηθέντος, μηνὸς Ἰουλίου εἰκάδι τρίτῃ τῆς δευτέρας ἰνδικτιῶνος, Ἠλίας ὁ πλειστάκις ἐν τῇ περὶ τοῦ ὁσίου Εὐθυμίου συγγραφῇ μνημονευθεὶς[4], τὴν πατριαρχείαν διεδέξατο, τῷ πεντηκοστῷ ἕκτῳ τῆς τοῦ μακαρίου Σάβα ἡλικίας χρόνῳ. Ὅστις πατριάρχης Ἠλίας ᾠκοδόμησε μοναστήριον πλησίον τοῦ ἐπισκοπείου, καὶ ἐν αὐτῷ περισυναγαγὼν τοὺς τῆς ἁγίας Ἀναστάσεως Σπουδαίους[5] εἰς τοὺς περὶ τὸν πύργον Δαβὶδ διεσπαμένους κελλία ἑκάστῳ αὐτῶν διανείμας πᾶσαν ἀνάπαυσιν σωματικὴν ἔχοντα. Αὐτῶν δέ, ὡς εἴρηται, συναθροισθέντων, ὁ πατὴρ ἡμῶν Σάβας διάφορα παρ' αὐτῶν ἀγοράσας κελλία, ξενοδοχεῖον[6] ταῦτα τῇ Λαύρᾳ πεποίηκεν· ἦσαν δὲ ἄλλα κελλία κατὰ τὸ βόρειον μέρος τῶν ἀγορασθέντων κελλίων, ἅπερ ἐβούλετο ἀγοράσαι εἰς λόγον ξένων μοναχῶν· καὶ ἱκανῆς χρυσίου

1) «Ἀρχηγὸς καὶ ἀρχιμανδρίτης—κοινοβιακοῦ κανόνος» (ἔρ. κεφ. ξε΄. καὶ βίον ἁγ. Θεοδοσ. κεφ. 3).

2) «Δευτερεύοντα αὐτοῦ (ἔχων) τὸν μακαρίτην Εὐγένιον τὸν τῆς λαύρας τοῦ ἐν ἁγίοις Ἀββᾶ Γερασίμου ἡγούμενον» (Βίος ἁγ. Θεοδοσ. κεφ. 3).

3) «Ἄρχων κατεστάθη καὶ νομοθέτης—ἐν ταῖς κέλλαις ζῆν προαιρουμένων» (ἔρ. κεφ. ξε΄. καὶ ζ΄. Βίον ἁγ. Θεοδοσ. κεφ. 3).

4) Ὁ Ἠλίας κατήγετο ἐξ Ἀραβίας καὶ ἐμόνασεν ἐν Νιτρίᾳ τὸ πρότερον· ἐλθὼν δ' ἐν Παλαιστίνῃ (457) διετέλεσε μαθητὴς τοῦ ἁγίου Εὐθυμίου (Βίος αὐτοῦ κεφ. λστ΄.), μετὰ τὴν τελευτὴν αὐτοῦ χειροτονεῖται πρεσβύτερος (473) καὶ κτίζει δύο μοναστήρια παρὰ τὴν Ἱεριχώ, τῇ δὲ 23 Ἰουλίου 494 ἀνάγεται εἰς τὸν τοῦ ἀδελφοθέου θρόνον.

5) Τὸ μοναχικὸν τάγμα τῶν Σπουδαίων, ἐξ οὗ ἔχει τὴν ἀρχὴν ἡ σημερινὴ Ἁγιοταφιτικὴ Ἀδελφότης, συνεστήθη ἀπὸ τῆς ἱδρύσεως τοῦ Ναοῦ τῆς Ἀναστάσεως (326), σπουδάζοντες δὲ εἰς τὰς νυχθημερινὰς τελετὰς τοῦ ναοῦ, ἐκλήθησαν: «Σπουδαῖοι τῆς ἁγίας Ἀναστάσεως», ἢ «τάγμα τῶν Σπουδαίων» (Χ. Παπαδοπούλ. Ἐκκλ. Ἱεροσολ. σελ. 97).

6) Τὸ ξενοδοχεῖον τοῦτο ἔκειτο ἐγγὺς τῆς κολυμβήθρας Βηρσαβεὲ παρὰ τὴν

ποσότητος ἐπιζητουμένης οὐκ εἶχε πλὴν ἑνὸς ἡμισείου. Καὶ τῇ εἰς Θεὸν πίστει ἐπερειδόμενος δέδωκε τὸ ἥμισυν(1) ἀρραβῶνα, λέγων· εἰ μὴ αὔριον πᾶσαν τὴν τιμὴν ἀποπληρώσω, ἀπόλλω τὸν ἀρραβῶνα. Καὶ ἐν αὐτῇ τῇ ὁρισθείσῃ ἡμέρᾳ πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι, τοῦ μακαρίου πατρὸς ἡμῶν περὶ τούτου διενθυμουμένου καὶ κατὰ διάνοιαν προσευχομένου, ἔρχεταί τις πρὸς αὐτὸν ξενικὸς ἄγνωστος παντελῶς, καὶ δίδωσιν αὐτῷ ἑκατὸν ἑβδομήκοντα νομίσματα, καὶ πάραυτα ἀνεχώρησε μηδὲ τὴν οἰκείαν ἀπαγγεῖλας προσηγορίαν. Ὁ δὲ μακάριος πατὴρ ἡμῶν θαυμάσας τὴν τοῦ Θεοῦ ταχεῖαν ἀντίληψιν, δέδωκε τὸ τίμημα τῶν κελλίων, καὶ καθίστησι ξενοδοχεῖον ἕτερον, πρὸς τὴν τῶν ἐρχομένων ἀπὸ ξένης μοναχῶν ἀνάπαυσιν. Ἦν δὲ καὶ τῷ Καστελλίῳ περιποιησάμενος ξενοδοχεῖα δύο, ἕν τε τῇ ἁγίᾳ πόλει οὐ μακρὰν τοῦ πύργου Δαβὶδ καὶ ἐν Ἱεριχῷ, ἐν ἑνὶ τῶν ὠνηθέντων παρ' αὐτοῦ παραδεισίων.

ΛΒ΄. Κατὰ τοῦτον τὸν χρόνον ἀπέστειλεν ὁ Θεὸς τῷ πατρὶ ἡμῶν Σάβα δύο ἀδελφοὺς κατὰ σάρκα, ἐκ τῆς μὲν Ἰσαυρίας ὁρμωμένους, Θεόδουλόν τε καὶ Γελάσιον προσαγορευομένους· οὕς τινας ἐάν τις, ὡς ἔμοι γε δοκεῖ, Βεσελεὴλ καὶ Ἐλιὰβ (Ἔξοδ. λα΄. 2, 6) τοὺς ἀρχιτέκτονας τῆς Σκηνῆς καλέσειεν, οὐχ ἁμαρτήσει τοῦ πρέποντος. Τούτους ἔχων ὁ νέος παρ' ἡμῖν Μωϋσῆς, τά τε λείποντα εἰς τὴν ἑαυτοῦ περιφανεστάτην ἔκτισε Λαύραν, καὶ τὰ περὶ αὐτὴν εὐαγῆ μοναστήρια. Καὶ πρῶτον μὲν ἔκτισε μαγκιπεῖον καὶ νοσοκομεῖον ἐν τῇ Λαύρᾳ, καὶ ὑπεράνω τὴν μεγάλην ἔκτισεν ἐκκλησίαν τῆς πανσέπτου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὡς τῆς Θεοκτίστου ἐκκλησίας στενοχωρούσης τὴν συνοδίαν πληθυνθεῖσαν, καὶ τῶν Ἀρμενίων πληθυνθέντων, καὶ ἐν τῷ μικρῷ εὐκτηρίῳ ὡσαύτως στενοχωρουμένων. Ἀναμέσον δὲ τῶν ἀμφοτέρων ἐκκλησιῶν μέσαυλον πεποίηκεν, ἔνθα πρώην εἶδε τὴν τοῦ στύλου πυρὸς ὀπτασίαν· ἐποίησε δὲ καὶ δοχεῖα

πύργον Δαβίδ, ἔνθα ὑψοῦται νῦν τὸ μεγαλοπρεπὲς οἰκοδόμημα τῆς Ἁγιοταφιτικῆς Ἀδελφότητος καλούμενον «Βηρσαβεέ». (ὅρ. κεφ. πστ΄. καὶ βίον Ἀβραμίου Κρατείας κεφ. 6).

1) Παρὰ τῷ Μεταφραστῇ· «οὐδὲν αὐτῷ ὑπελείφθη εἰ μὴ νομίσματος τὸ ἥμισυ».

ὑδάτων μέγιστα ἐν τῷ χειμάρρῳ. Τῆς οὖν μεγάλης ἐκκλησίας οἰκοδομηθείσης καὶ κόσμῳ παντὶ διακοσμηθείσης, κατελθὼν ὁ ἐν ἁγίοις Ἠλίας ὁ ἀρχιεπίσκοπος εἰς τὴν Λαύραν ταύτην, ἐνεκαίνισε καὶ θυσιαστήριον ἡγιασμένον κατέπηξεν εἰς αὐτήν, μηνὸς Ἰουλίου πρώτῃ τῆς ἐννεακαιδεκάτης[1] ἰνδικτιῶνος, ἑξηκοστῷ δὲ τρίτῳ τῆς τοῦ μεγάλου Σάβα ἡλικίας χρόνῳ. Τότε οὖν τοὺς Ἀρμενίους μετέστησεν ἀπὸ τοῦ μικροῦ εὐκτηρίου[2], πρὸς τὸ ἐπιτελεῖν τὸν τῆς ψαλμῳδίας κανόνα τῇ τῶν Ἀρμενίων διαλέκτῳ εἰς τὴν θεόκτιστον ἐκκλησίαν, παρεγγυήσας αὐτοῖς τὸ μεγαλεῖον[3] καὶ τὴν λοιπὴν ἀκολουθίαν Ἀρμενιστὶ καθ' ἑαυτοὺς λέγειν, καὶ ἐν τῷ καιρῷ τῆς θείας προσκομιδῆς ἔρχεσθαι μετὰ τῶν Ἑλληνισταρίων καὶ σὺν αὐτοῖς τῶν Ἁγίων μεταλαμβάνειν Μυστηρίων[4]. Ἐπειδὴ δέ τινες αὐτῶν λέγειν ἐπεχείρησαν τὸν Τρισάγιον ὕμνον μετὰ τῆς ὑπὸ Πέτρου τοῦ ἐπίκλην Κναφέως[5] ἐπινοηθείσης προσθήκης τοῦ: ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἀγανακτήσας εἰκότως ὁ θεῖος πρεσβύτης, Ἑλληνιστὶ τοῦτον αὐτοῖς τὸν ὕμνον ψάλλειν ἐκέλευσε, κατὰ τὴν ἀρχαίαν τῆς καθολικῆς ἐκκλησίας παράδοσιν, καὶ οὐ κατὰ τὴν τοῦ προρρηθέντος Πέτρου καινοτομίαν, τοῦ τὰ Εὐτυχοῦς φρονήσαντος καὶ ἐκ δευτέρου τυραννικῷ τρόπῳ τοῦ Ἀντιοχείας θρόνου κρατήσαντος[6],

1) Ἐν τῇ ὤᾳ νεωτέρα χεὶρ ἔγραψε «ἐνάτης», ὅπερ καὶ ὀρθότερον, ὡς ἐξάγεται καὶ ἐκ τῶν ἑξῆς· «τοῦ ἐγκαινισμοῦ τοῦ γεγονότος ἐν τῇ λαύρᾳ ἐπὶ τῆς ἐνάτης ἰνδικτιῶνος, τοῦ σεβασμίου οἴκου τῆς παναγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας» (Βίος Ἰωάννου Ἡσυχαστοῦ κεφ. 11).

2) Ὅρ. κεφ. κ'.

3) Μεγαλεῖον, ἤτοι τὸ Εὐαγγέλιον.

4) Οὕτω καὶ ἐν τῇ μονῇ τοῦ Ἀββᾶ Θεοδοσίου «μέχρι μὲν τῶν θεοπνεύστων Εὐαγγελίων κατὰ τὴν οἰκείαν ἕκαστον ἐκκλησίαν (Ἀρμένιοι καὶ Βεσσοὶ) ἅμα καὶ γλῶτταν τῆς θείας ἀκούειν φωνῆς, τὸ δὲ ἐπὶ τούτοις εἰς μίαν πάντας..... τῶν Ἑλληνιστῶν ἐκκλησίαν ἀθροίζεσθαι ...... καὶ τῶν ἁγιασμάτων ἐκεῖ μετέχουσι» (Βίος ὑπὸ Μεταφραστοῦ κεφ. 38).

5) Πέτρος ὁ Κναφεὺς πρεσβύτερος ὢν τοῦ ἐν Χαλκηδόνι ναοῦ τῆς ἁγίας Βάσσης, ἦλθεν εἰς Ἀντιόχειαν. διεγείρων δὲ μυρίους θορύβους καὶ ῥαδιουργίας κατὰ τοῦ πατριάρχου Μαρτυρίου, ἐπιπηδᾷ ἐπὶ τοῦ θρόνου, παραιτηθέντος τοῦ Μαρτυρίου (465). Διὰ τῆς προσθήκης «ὁ σταυρωθεὶς δι' ἡμᾶς» σχίσας τὸν λαὸν τῆς Ἀντιοχείας, φεύγει, ἀποφασισθείσης τῆς ἐξορίας αὐτοῦ· τοῦτον δὲ διαδέχεται ὁ Ἰουλιανὸς μέχρι τοῦ 474.

6) Ἐπιταγῇ τοῦ τὴν βασιλείαν ἁρπάσαντος Βασιλίσκου ἀναλαμβάνει τὸν θρό-

καὶ ὑπὸ τῶν ἐκκλησιαστικῶν θεσμῶν ἐκβληθέντος, καὶ πάλιν ἐκ τρίτου μετὰ τὴν ἐν Ἰσαυρίᾳ γενομένην τοῦ Ἴλλου τυραννίδα ἐπὶ τῆς βασιλείας Ζήνωνος, βασιλικῇ αὐθεντίᾳ τοῦ αὐτοῦ κρατήσαντος θρόνου ἀθέσμως(1), μὴ λυθέντων τῶν κατ' αὐτοῦ γενομένων ἀναθεμάτων, καὶ πᾶσαν τὴν ἀνατολὴν ἐκταράξαντος, καὶ ὑπὸ τοῦ πάπα Φήλικος(2) ἀναθεματισθέντος, διά τε τὴν ἑτεροδοξίαν καὶ τὴν εἰρημένην τοῦ Τρισαγίου προσθήκην. Ὅθεν δικαίως καὶ εὐσεβῶς ὁ πατὴρ ἡμῶν Σάβας τὴν ὑπ' ἐκείνου ἐπινοηθεῖσαν προσθήκην ἀποσεισάμενος, τῇ ἐκκλησιαστικῇ εἵπετο παραδόσει. Ἐθέσπισε δὲ ὥστε κατὰ πᾶν Σάββατον τὴν σύναξιν εἰς τὴν Θεόκτιστον ἐπιτελεῖν ἐκκλησίαν, κατὰ δὲ Κυριακὴν εἰς τὴν τῆς Θεοτόκου ἐκκλησίαν ἐπιτελεῖν τὴν σύναξιν, καὶ ἀπαραλείπτως ἀπὸ ὀψὲ ἕως πρωῒ ἀγρυπνίαν ἐν ἀμφοτέραις γίνεσθαι ταῖς ἐκκλησίαις κατά τε Κυριακὴν καὶ Δεσποτικὴν ἑορτήν.

ΛΓ'. Αὐτοῦ τοίνυν τῇ τοῦ Χριστοῦ χάριτι ἐν ὀλίγῳ χρόνῳ τήν τε Λαύραν πλατύναντος, καὶ τὴν συνοδίαν αὐξήσαντος, καὶ τὸ τοῦ Καστελλίου κοινόβιον συστησαμένου, καὶ πάντων τῶν ἐν ταῖς ἄλλαις λαύραις ἐξάρχοντος, οἱ ἀνωτέρω μνημονευθέντες μαθηταὶ αὐτοῦ καὶ κατήγοροι, τῇ τοῦ Καστελλίου συστάσει μᾶλλον φθονήσαντες, καὶ τεσσαράκοντα γεγονότες, ἔκ τινος σκαιοῦ δαίμονος συστροφὰς κατ' αὐτοῦ ἐποιοῦντο. Ὁ δὲ πατὴρ ἡμῶν Σάβας πραῢς μὲν ὑπάρχων πρὸς ἀνθρώπους, μαχητὴς δὲ πρὸς δαίμονας, παραχωρήσας αὐτοῖς, ἀνεχώρησεν ἐπὶ τὰ μέρη Σκυθουπόλεως(3), καὶ ἐκάθησεν εἰς ἔρημον τόπον παρὰ τὸν λε-

νον (474) τὸ δεύτερον ὁ θεοπασχίτης Κναφεύς· τὸ ἑπόμενον ὅμως ἔτος (475), ψήφῳ τῆς ἀνατολικῆς συνόδου καθαιρεῖ αὐτὸν ὁ Ζήνων καὶ εἰς Πιτυοὺς ἐξορίζει.

1) Πάλιν ῥᾳδιουργίαις χρησάμενος ὁ ταραξίας Κναφεύς, ἀδείᾳ τοῦ Ζήνωνος ἐπιβαίνει τὸ τρίτον τοῦ θρόνου (484). Ἐκβαλὼν ἐπισκόπους ἀνεπιλήπτους, χειροτονίας ἀθέσμους ποιήσας, καὶ ἄλλα πολλὰ κακά, θνήσκει τῷ 490.

2) Φῆλιξ ὁ Β'. ὁ πάπας διετέλεσεν ὡς τοιοῦτος ἀπὸ 18 Μαρτίου 483 μέχρι 13 Φεβρουαρίου 492.

3) «Τοῦ μακαρίου Σάβα τῆς Λαύρας ὑποχωρήσαντος ἐπὶ τὰ μέρη Σκυθοπόλεως (501) διὰ τὴν ἀκαταστασίαν τῶν εἰς ὕστερον τὴν Νέαν λαύραν οἰκησάντων, ὁ τιμιώτατος Ἰωάννης φεύγων τὸ τῆς ἀταξίας συνέδριον ἀνεχώρησεν εἰς τὴν ἔρημον τοῦ Ρουβᾶ» (Βίος Ἰωάννου Ἡσυχαστοῦ κεφ. 12).

γόμενον ποταμὸν Γαδάρων· καὶ ἔμενεν ἐκεῖσε ἐν σπηλαίῳ ἐπὶ χρόνον ὀλίγον, ἐν ᾧ εἰώθει λέων παμμεγεθέστατος ἀναχωρεῖν. Ὅστις λέων περὶ τὸ μεσονύκτιον ἐλθών, ηὗρε τὸν μακάριον Σάβαν καθεύδοντα, καὶ λαβόμενος τοῦ κεντωνίου[1] ἐν στόματι, εἷλκεν αὐτὸν ἐξεῶσαι τοῦ σπηλαίου φιλονεικῶν. Τοῦ δὲ ἀναστάντος καὶ τῆς νυκτερινῆς ψαλμῳδίας ἀρξαμένου, ἐξελθὼν ὁ λέων ἐξεδέχετο ἔξω τοῦ σπηλαίου ἱστάμενος· τοῦ δὲ πρεσβύτου τὸν κανόνα πληρώσαντος καὶ ἀνακλίναντος ἑαυτὸν ἐν ᾧ τόπῳ εἰώθει ὁ λέων καθεύδειν, πάλιν εἰσελθὼν ὁ λέων καὶ τοῦ κεντωνίου λαβόμενος, εἷλκεν αὐτὸν ἐκβαλεῖν τοῦ σπηλαίου πειρώμενος. Τοῦ τοίνυν λέοντος ἐπείγοντος αὐτὸν ἐξελθεῖν τοῦ σπηλαίου, λέγει πρὸς αὐτὸν θαρραλέῳ τῷ φρονήματι ὁ πρεσβύτης· Τὸ μὲν σπήλαιον εὐρύχωρόν ἐστι δυνάμενον ἀφθόνως τοὺς ἀμφοτέρους ὑποδέξασθαι· εἷς γὰρ τῶν ἀμφοτέρων ὁ δημιουργός. Σὺ δὲ εἰ βούλει μένε αὐτοῦ, εἰ δὲ μή γε ἀναχώρησον· ἐγὼ γὰρ χειρὶ Θεοῦ ἐπλάσθην, καὶ τῇ αὐτοῦ εἰκόνι τετίμημαι. Ταῦτα ἀκούσας ὁ λέων καὶ τρόπον τινὰ αἰδεσθείς, ἀνεχώρησεν.

ΛΔ΄. Αὐτοῦ δὲ ἐν ὀλίγαις ἡμέραις ἐπισήμου αὐτόθι γεγονότος, ἤρχοντό τινες πρὸς αὐτὸν τῶν Σκυθοπολιτῶν καὶ τῶν Γαδαρηνῶν· ἐν οἷς νεώτερός τις Σκυθοπολίτης ὀνόματι Βασίλειος, προσγενὴς ὑπάρχων Σεβήρου καὶ Σωφρονίου τῶν αὐτόθι περιβοήτων, θείᾳ κινηθεὶς κατανύξει ἦλθε πρὸς αὐτὸν καὶ ἀπετάξατο, καὶ τὴν ἀσκητικὴν ἀκρίβειαν ἐπαιδεύετο. Περὶ οὗ Βασιλείου λησταί τινες μαθόντες ἐπῆλθον αὐτοῖς ἄφνω ἐν μεσονυκτίῳ χρήματα ἔχειν τὸν Βασίλειον ὑπονοήσαντες, καὶ μηδὲν αὐτοῖς τοῦ αἰῶνος τούτου εὑρηκότες, ἀπῆλθον οἰκοδομηθέντες τὴν αὐτῶν πολιτείαν, καὶ ἀκτημοσύνην καταμαθόντες· καὶ συναντῶσι δυσὶ λέουσι παμμεγεθεστάτοις. Ἔμφοβοι δὲ γενό-

1) Κεντώνιον ἐκ τῆς λατιν. λέξεως cento δηλούσης τὸ ἐκ πολλῶν τμημάτων συνερραμμένον ἱμάτιον, ὅπερ παρὰ τοῖς Αἰγυπτίοις μοναχοῖς ἐλέγετο πολύρραφον. «Οἱ Πατέρες ἡμῶν καὶ ὁ Ἀββᾶς Παμβώ, ἔλεγεν ὁ Ἀββᾶς Ἰσαὰκ τοῖς ἀδελφοῖς, παλαιὰ πολύρραφα ἐφόρουν καὶ σεβέννια, νῦν δὲ πολύτιμα φορεῖτε· ὑπάγετε ἔνθεν ἠρημώσατε τὰ ὧδε» (Ἀποφθέγμ. Πατέρ. σ. 225. Πατρολογ. τόμ. 65). Ἀλλαχοῦ λέγει ὁ Κύριλλος, ἐπειδὴ ὁ θεῖος Σάβας ἐφόρει «κεντώνια ῥυπαρὰ καὶ πολύρραφα» (κεφ. να΄), δὲν ἐπετράπη αὐτῷ ὑπὸ τῶν σιλεντιαρίων νὰ εἰσέλθῃ μετὰ τῶν λοιπῶν ἡγουμένων πρὸς τὸν βασιλέα Ζήνωνα.

μενοι ὥρκωσαν τοὺς θῆρας οὕτω λέγοντες· Τὰς εὐχὰς τοῦ Ἀββᾶ Σάβα, οὗτινος νῦν τὴν ἀρετὴν ἐθαυμάσαμεν, ἀπόστητε τῆς ὁδοῦ, ἵνα παρέλθωμεν. Καὶ οἱ μὲν λέοντες τοῦ ὀνόματου τοῦ Ἀββᾶ Σάβα ἀκούσαντες, ὡς ὑπὸ μάστιγός τινος ἐλαυνόμενοι ἔφυγον· οἱ δὲ λησταὶ ἀγασθέντες τῷ θαύματι, εἰκότως ἐλογίσαντο ὅτι ὄντως δοῦλος τοῦ Θεοῦ ἐστιν ὁ Γέρων, ὅστις καὶ μὴ παρὼν θαυματουργεῖ. Καὶ ὑποστρέψαντες ὁμοθυμαδὸν πρὸς αὐτόν, καὶ προσπεσόντες αὐτῷ, διηγήσαντο τὸ γεγονὸς θαῦμα· καὶ λοιπὸν συνθέμενοι τῷ Θεῷ μηκέτι ἀδικῆσαι ἄνθρωπον, ἀπετάξαντο πάσῃ παρανομίᾳ, καὶ ταῖς ἰδίαις ἀπὸ τότε ἐσχόλαζον γεωργίαις. Τούτου δὲ διαφημισθέντος, συνέτρεχον πολλοὶ πρὸς αὐτόν· ἦν γὰρ ἐν ὀλίγαις ἡμέραις κελλίον δειμάμενος, καὶ ἄλλους δύο ἀδελφοὺς περιποιησάμενος. Ὡς οὖν εἶδεν ἑαυτὸν ὑπὸ τῶν κοσμικῶν ὀχλούμενον, ἀνεχώρησε λάθρα παραθέμενος τῷ Θεῷ τοὺς ἀδελφούς, ὧν τινων τῷ χρόνῳ τελειωθέντων, Εὐμάθιός τις Ἴσαυρος τὸ κελλίον διαδεξάμενος, κοινόβιον πεποίηκε, καὶ συνοδίαν εἰς αὐτὸ περιεποιήσατο, ἐξ ἧς συνοδίας ἐστὶν ὁ τίμιος Ἀββᾶς Ταράσιος, ὁ τὴν Εὐμαθίου ἀρετὴν καὶ ἡγεμονίαν διαδεξάμενος(1), Ἴσαυρος ὢν καὶ αὐτὸς τῷ γένει, καὶ ἐν μοναχικοῖς κατορθώμασι βεβοημένος.

ΛΕ΄. Ὁ μέντοι ἡγιασμένος Σάβας ἐλθὼν εἰς τὴν ἑαυτοῦ Λαύραν, ηὗρε τοὺς μνημονευθέντας τεσσαράκοντα, τοὺς πρὸς τὴν κακοῦ μετουσίαν ἐπιτηδείους, ἑτέρους ὑπονοθεύσαντας καὶ ἑξήκοντα γεγονότας, καὶ ἐλυπεῖτο καὶ ἔκλαιεν ἱκανῶς διὰ τὴν προσγινομένην τῇ ἑαυτοῦ συνοδίᾳ βλάβην· καὶ ἐθαύμαζε πῶς εὐζήλωτον καὶ πρόχειρον ἡ μοχθηρία, ῥᾳδίως τοὺς χαύνους ἐπισπωμένη. Καὶ πρῶτον μὲν ἀντετίθει τῷ ἐκείνων θυμῷ τὴν μακροθυμίαν· τῷ μίσει τὴν ἀγάπην, πνευματικῇ συνέσει καὶ ἀκεραιότητι τὸν ἑαυτοῦ λόγον ῥυθμίζων· ἔπειτα δὲ βλέπων τῇ πονηρίᾳ ἀνδρειουμένους καὶ ἀναισχυντίᾳ κεχρημένους, καὶ μὴ ἀνεχομένους ἐν τῇ ταπεινῇ ὁδῷ τοῦ Χριστοῦ βαδίζειν, ἀλλὰ «προφάσεις» προφασιζομένους «ἐν ἁμαρτίαις» (Ψαλμ. ρμ΄. 4), καὶ λόγους ἀνευρί-

1) «*Ἴσαυρος ὢν—βεβοημένος*» ἐλλείπουσιν ἐκ τοῦ κειμένου τοῦ Κοτελερίου.

ΑΠΘ

σκοντας συνηγόρους τοῖς πάθεσιν, δίδωσί «τόπον τῇ ὀργῇ» (Ρωμ. ιβ΄. 19), καὶ ἀναχωρεῖ ἐπὶ τὰ μέρη Νικοπόλεως, καὶ ἡσυχάζει αὐτόθι ἐπὶ ἡμέρας πλείους ὑποκάτω μιᾶς κερατέας, ἐκ τῶν κερατίων διαιτώμενος· καὶ μαθὼν ὁ τοῦ τόπου ἐπίτροπος ἐξῆλθε πρὸς αὐτὸν καὶ κτίζει αὐτῷ ἐν αὐτῷ τῷ τόπῳ κελλίον, καὶ ἐν ὀλίγαις ἡμέραις τὸ κελλίον ἐκεῖνο κοινόβιον γέγονε τῇ τοῦ Χριστοῦ συνεργίᾳ. Αὐτοῦ τοίνυν ἐν ἐκείνοις ὄντος τοῖς τόποις, οἱ γεννάδαι ἐκεῖνοι τῆς χρονίας αὐτοῦ ἀπουσίας δραξάμενοι, διαφημίζουσιν εἰς τὴν Λαύραν, ὅτι ὁ Ἀββᾶς ἡμῶν τὰς ἐρήμους περιερχόμενος θηριάλωτος γέγονε· καὶ συναρπάζουσι καὶ τοὺς λοιποὺς καὶ εἰσέρχονται εἰς τὴν ἁγίαν πόλιν πρὸς τὸν ἀρχιεπίσκοπον Ἠλίαν, λέγοντες· ὅτι ὁ Ἀββᾶς ἡμῶν εἰς τὴν περὶ τὴν Νεκρὰν θάλασσαν ἔρημον ἀναχωρῶν λεοντόβρωτος γέγονεν, ἀλλὰ κέλευσον δοῦναι ἡμῖν ἡγούμενον. Ὁ δὲ ἀληθῶς ἱερεὺς Θεοῦ Ἠλίας γινώσκων ἀπὸ τῶν χρόνων τοῦ μεγάλου Εὐθυμίου([1]) τὴν ἐκ νεότητος τοῦ θείου Σάβα διαγωγήν, ἀπεκρίνατο πρὸς αὐτοὺς λέγων· Ἐγὼ μὲν ὑμῶν οὐ πιστεύω. Οἶδα γὰρ ὅτι οὐκ ἄδικος ὁ Θεὸς παριδεῖν τὸν δοῦλον αὐτοῦ θηριάλωτον γενέσθαι· ἀλλ' ὑπάγετε μᾶλλον τὸν Ἀββᾶν ὑμῶν ζητήσατε, ἢ ἡσυχάσατε, ἕως οὗ ὁ Θεὸς φανερώσῃ αὐτόν. Τῆς οὖν ἡμέρας τῶν Ἐγκαινίων([2]) φθασάσης, κατὰ τὴν τῶν ἡγουμένων συνήθειαν, ἀνέρχεται εἰς τὴν ἁγίαν πόλιν μετά τινων ἀδελφῶν τοῦ περὶ Νικόπολιν μοναστηρίου· ἦν γὰρ ἐκεῖσε, ὡς εἴρηται, μοναστήριον συστησάμενος καὶ ἀδελφοὺς εἰς αὐτὸ περιποιησάμενος, συνεργεῖ γὰρ αὐτῷ ὁ Θεὸς ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι. Καὶ εἰσέρχεται μετά τινων ἡγουμένων πρὸς τὸν ἀρχιεπίσκοπον([3])· ὅν τινα πρεσβύτην ὁ πα-

1) Ἀπὸ τοῦ ἔτους 457.

2) «Ἡμέραι ἐγκαινίων καλοῦνται αἱ ἡμέραι, καθ' ἃς ἡ ἁγία ἐκκλησία ἐν τῷ Γολγοθᾷ ἥτις καλεῖται Μαρτύριον, ἐνεκαινίσθη τῷ Θεῷ, καὶ ἡ ἁγία ἐν τῇ Ἀναστάσει ἐκκλησία, ἔνθα ὁ Κύριος ἀνέστη μετὰ τὸ πάθος, τὴν αὐτὴν ἡμέραν ἐνεκαινίσθη τῷ Θεῷ. Τῶν ἁγίων δὲ ἐκκλησιῶν τούτων τὰ ἐγκαίνια ἐπιτελοῦνται μετὰ μεγάλων τιμῶν, ἐπειδὴ ὁ σταυρὸς τοῦ Κυρίου εὑρέθη κατὰ τὴν ἡμέραν ταύτην» (Ὁδοιπορ. Συλβίας κεφ. 48, σ. 77). Ἡ ἑορτὴ τῶν Ἐγκαινίων ἑωρτάζετο ἐπὶ ὀκτὼ ἡμέρας (14 Σεπτεμβρίου μέχρι 21), κατὰ τὰς ὁποίας συνηθροίζοντο ἄπειρα πλήθη ἐκ Μεσοποταμίας, Συρίας καὶ Αἰγύπτου.

3) Ἐντεῦθεν ἄρχεται τὸ λε΄. κεφ. ἐν τῷ Κοτελερίου κειμένῳ.

τριάρχης θεασάμενος καὶ περιχαρὴς γενόμενος, λαβὼν αὐτὸν ἰδίᾳ, παρεκάλει εἰς τὴν ἰδίαν ὑποστρέψαι Λαύραν· τοῦ δὲ συγχωρηθῆναι παρακαλοῦντος καὶ μηδόλως ἀνεχομένου, κινηθεὶς ὁ ἀρχιεπίσκοπος εἶπε πρὸς αὐτόν· Πίστευε ὅτι ἐὰν μὴ ἀνάσχῃ τῆς παρακλήσεώς μου καὶ συμβουλῆς, ἀλλὰ παρακούσῃς, οὐκέτι ὄψει τὸ πρόσωπόν μου, οὐδὲ γὰρ θέλω ὁρᾶν τοὺς κόπους σου ὑπὸ ἄλλων διοικουμένους. Τοῦτο τοῦ ἀρχιεπισκόπου εἰρηκότος, ὁ πατὴρ ἡμῶν ὑπέσχετο εἶξαι τῇ αὐτοῦ κελεύσει, ἀναγκάζεται δὲ τὴν ἀκαταστασίαν εἰπεῖν τῶν ἑξήκοντα φατριαστῶν καὶ τὴν φιλοτάραχον αὐτῶν γνώμην. Τότε διαναστὰς ὁ πατριάρχης γράφει πρὸς τοὺς ἐν τῇ Λαύρᾳ ἐπιστολὴν οὕτως ἔχουσαν· Γινώσκειν ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι ὁ πατὴρ ὑμῶν ζῇ καὶ λεοντόβρωτος οὐ γέγονεν, ἦλθε γὰρ πρός με ἐν τῇ ἑορτῇ καὶ κατασχὼν αὐτὸν συνεῖδον μὴ καταλιπεῖν αὐτὸν τὴν ἑαυτοῦ Λαύραν, ἥν περ αὐτὸς μετὰ τὴν Θεοῦ πρόνοιαν κοπιάσας συνεστήσατο. Θελήσατε οὖν τοῦτον μετὰ τῆς ὀφειλομένης δέξασθαι τιμῆς, καὶ πᾶσι τρόποις ὑποταγῆναι αὐτῷ· οὐδὲ γὰρ ὑμεῖς αὐτὸν αὐτόθι ὑπεδέξασθε, ἀλλ' αὐτὸς ὑμᾶς ὑπεδέξατο. Διὸ ἀνάγκη ὑμᾶς ὑποταγῆναι αὐτῷ· εἰ δέ τινες ἐξ ὑμῶν αὐθάδεις εἰσὶ καὶ ὑπερήφανοι καὶ ἀπειθεῖς καὶ οὐκ ἀνέχονται ταπεινωθῆναι, μὴ μείνωσιν αὐτόθι, οὐκ ἐνδέχεται γὰρ αὐτὸν μὴ ἀπολαβεῖν τὸν ἴδιον τόπον. Ὁ τοίνυν πατὴρ ἡμῶν Σάβας παρακούειν μὴ γινώσκων, τινὰ τῶν μετ' αὐτοῦ μαθητῶν, Νικοπολίτην τῷ γένει, Σεβῆρον ὀνόματι, ἡγούμενον τοῦ περὶ Νικόπολιν μοναστηρίου πεποίηκεν(1), ὅντινα ἐπὶ ἱκανὰ ἔτη τὸ αὐτὸ μοναστήριον κυβερνήσαντα, Δόμνος διεδέξατο τελευτήσαντα, ὅστις μετὰ πολὺν χρόνον Σαβάρωνά τινα καταλείψας διάδοχον, ἐτελεύτησεν, ὅντινα Σαβάρωνα(2) γινώσκομεν αὐτόθι γηράσαντα καὶ μέχρι τοῦ νῦν τοῦ τόπου καλῶς κρατοῦντα.

(ἀκολουθεῖ)

***ΑΥΓΟΥΣΤΙΝΟΣ ΜΟΝΑΧΟΣ***

1) «Ὅντινα ἐπὶ ἱκανὰ ἔτη—τοῦ τόπου καλῶς κρατοῦντα» ἐλλείπουσιν ἐκ τοῦ κειμένου τοῦ Κοτελερίου.

2) «Ὅστις Σαβάρων καὶ εἰς ἐμὲ διετέλεσε τοῦ τοιοῦδε προεστὼς σεμνείου, βαθύτατα ἤδη γεγηρακώς» (Βίος ἁγ. Σάβα ὑπὸ Κλεόπα κεφ. 106. Ἱεροσόλυμα 1905).

# ΙΩΑΝΝΗΣ Ο ΜΟΣΧΟΣ ΚΑΙ ΣΩΦΡΟΝΙΟΣ Ο ΣΟΦΙΣΤΗΣ

## Ο ΚΑΙ ΠΑΤΡΙΑΡΧΗΣ ΙΕΡΟΣΟΛΥΜΩΝ *)

Διηγήσαντο τῷ Μόσχῳ καὶ Σωφρονίῳ τῶν πατέρων τινὲς τοῦ Σινᾶ περὶ τοῦ ἀββᾶ Σεργίου τοῦ ἀναχωρητοῦ, ὅτι ὅτε διέμενεν ἐπὶ τοῦ ὄρους Σινᾶ, ὁ ἡγούμενος ἀνέθηκεν αὐτῷ τὴν ἐπιστασίαν τῶν ἡμιόνων τοῦ μοναστηρίου. Ἐν μιᾷ ἡμέρᾳ συνήντησε λέοντα ἀνακείμενον ἐν τῇ ὁδῷ. Οἱ ἡμίονοι καὶ οἱ μετ' αὐτοῦ ἰδόντες αὐτὸν κατελήφθησαν ὑπὸ φόβου καὶ ἐτράπησαν εἰς φυγήν. Ἀλλ' οὗτος λαβὼν ἐκ τῆς πήρας ἄρτον τοῦ μοναστηρίου, προσῆλθε τῷ λέοντι καὶ εἶπε· «Λάβε τὴν εὐλογίαν τῶν πατέρων καὶ ἄπελθε ἐκ τῆς ὁδοῦ, ἵνα παρέλθωμεν». Λαβὼν δ' αὐτὴν ἀνεχώρησεν[1].

Προκειμένου περὶ τῶν ἐν τῇ Λαύρᾳ Φαρὰν κατοικούντων ἀδελφῶν ὁ Ἰωάννης Μόσχος ὁμιλεῖ ἰδίᾳ περὶ τοῦ ἀββᾶ Κοσμᾶ τοῦ Εὐνούχου, τοῦ Παύλου καὶ Αὐξάνοντος. Ὁ Κοσμᾶς, ὅστις εἶχε λίαν ὀρθόδοξα φρονήματα, μεγάλην εἶχεν εὐσέβειαν καὶ μεγάλην τῶν θείων Γραφῶν γνῶσιν. Ἐν τῇ νυκτὶ δὲ τῆς Κυριακῆς ἵστατο, ἀπὸ ἑσπέρας μέχρι πρωΐας, ψάλλων καὶ ἀναγινώσκων ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἐν τῇ ἐκκλησίᾳ, μηδὲ ὅλως καθήμενος. Ἀφ' οὗ δὲ ἐπλήρου τὸν κανόνα, ἐκάθητο ἀναγινώσκων τὸ Εὐαγγέλιον μέχρι τῆς συνάξεως. Ἡμέραν τινὰ μὴ δυνάμενος, ἵνα ἀντιληφθῇ καλῶς χωρίου τινὸς τῆς Γραφῆς, ἀπῆλθε παρὰ τῷ ἀββᾷ Θεοφίλῳ, διαμένοντι ἐν τῇ τῶν Πυργίων Λαύρᾳ πρὸς ἑρμηνείαν αὐτοῦ. Φθὰς δ' ἐγγὺς τοῦ Καλαμῶνος εἶδε δράκοντα ὑπερμεγέθη ἐκ τοῦ ὄρους κατερχόμενον ἐπὶ τὸν Καλαμῶνα. Ἐνόησε δέ, ὅτι ἦν ὁ δαίμων, ὅστις ἤθελεν, ἵνα παρακωλύσῃ τὴν μετάβασιν ταύτην. Ἀλλ' ἀδεῶς ἐξακολουθήσας τὴν πορείαν αὐτοῦ ἀφίκετο παρὰ

*) Ἴδε «Νέα Σιὼν» Τόμος ΙΓ'. Τεῦχος ΙΑ'.—ΙΒ'. σελ. 815—836.

1) Κεφ. 125, σελ. 2988.

Α.Π.Θ.

τῷ Θεοφίλῳ, ὅστις ἔδωκεν αὐτῷ τὴν αἰτουμένην ἑρμηνείαν. Ὁ ἀββᾶς Βασίλειος, πρεσβύτερος τῆς μονῆς τῶν Βυζαντίων, ἔλεγε περὶ τοῦ Κοσμᾶ, ὅτι μεταβὰς παρ' αὐτῷ ψυχικῆς χάριν σωτηρίας ὑπέμνησέ τι χωρίον τοῦ ἁγίου Ἀθανασίου. Οὗτος δὲ εἶπεν· «Ὅταν εὕρῃς λόγον τοῦ ἁγίου Ἀθανασίου καὶ μὴ ἔχῃς χαρτία, εἰς τὰ ἱμάτιά σου γράψον αὐτόν». Ἀποθανὼν δ' ἐν Ἀντιοχείᾳ, εἰς ἣν μετέβη, ἐτάφη, ἐντολῇ τοῦ Πατριάρχου, ἐν τῷ κοιμητηρίῳ, ἐν ᾧ ἔκειτο ἐπίσκοπος. Ἐπὶ δὲ τοῦ τάφου αὐτοῦ ἐθεραπεύθη παραλυτικός[1]. Ὁ ἀββᾶς Παῦλος ἐν τῇ Λαύρᾳ ἐπ' ἴσης Φαρὰν ἦν ἀνὴρ ἅγιος, πρᾳότατος καὶ ἀσκητικώτατος, δάκρυα πάμπολλα καθ' ἑκάστην ἐκχέων. Διετέλεσε δὲ ἡσυχάζων περὶ τὰ πεντήκοντα ἔτη, ἀρκούμενος τῇ εὐλογίᾳ τῆς ἐκκλησίας μόνον καὶ μὴ συντυγχάνων τινὶ τὸ παράπαν[2]. Ὁ δὲ Αὐξάνων ἦν ἐξ Ἀγκύρας τῆς Γαλατίας. Ἦν δὲ ἐλεήμων καὶ ἐγκρατὴς καὶ τηλικαύτην ἤσκει σκληραγωγίαν, ὥστε ἐντὸς τεσσάρων ἡμερῶν μίαν ἔτρωγε προσφορὰν εἴκοσι λεπτῶν, ἐνίοτε δὲ ἠρκεῖτο εἰς αὐτὴν ὅλην τὴν ἑβδομάδα. Περὶ δὲ τὰ τελευταῖα τῆς ζωῆς αὐτοῦ ἔτη περιέπεσεν εἰς κοιλιακὴν νόσον. Ἤχθη δὲ ἐν τῷ νοσοκομείῳ τοῦ Πατριάρχου ἐν Ἱερουσαλήμ. Ὁ τότε ἡγούμενος τῆς Λαύρας τοῦ ἁγίου Σάβα Κόνων ἀπέστειλεν αὐτῷ νομίσματα ἓξ καὶ εὐλογίαν. Ὁ γέρων τὴν μὲν εὐλογίαν ἐδέξατο, τὰ δὲ νομίσματα ἐπέστρεψεν εἰπών, ὅτι μετὰ δύο ἡμέρας ἀπέρχεται τοῦ κόσμου τούτου, ὅπερ καὶ ἐγένετο. Ἀχθεὶς δὲ εἰς τὴν Λαύραν Φαρὰν ἐτάφη ἐν αὐτῇ[3].

Τὸ ἐγγὺς Βηθλεὲμ μοναστήριον τοῦ ἁγίου Σεργίου ἢ τοῦ Ξηροποτάμου διετέλει ὑπὸ τὸν εὐλαβῆ σφόδρα ἀββᾶν Εὐγένιον, ὅστις ὕστερον ἐγένετο Ἑρμοπόλεως τῆς κατ' Αἴγυπτον ἐπίσκοπος. Οὗτος διηγήσατο τῷ Μόσχῳ καὶ τῷ Σωφρονίῳ, ὅτι ὁ ἀββᾶς Ἀλέξανδρος ὁ Κίλιξ γηράσας ἐν τοῖς σπηλαίοις τοῦ Ἰορδάνου ἦλθεν ἐν τῷ μοναστηρίῳ αὐτοῦ, ἐν ᾧ ἠσθένησε. Δέκα δὲ ἡμέρας πρὸ τοῦ θανάτου αὐτοῦ κατελήφθη ὑπὸ δαίμονος ἐκ φθόνου διαβολικοῦ. Τὴν προσβολὴν ὅμως ταύτην ὑπέστη μετὰ περισσῆς ὑπομονῆς. Ἔψεγε δὲ τὸν δαίμονα, ὅτι προσέβαλεν αὐτὸν γηράσαντα καὶ δὲν ἐτόλμησεν, ἵνα ἐνοχλήσῃ νέον ὄντα [4].

Εἴκοσι μίλια μακρὰν Ἱεροσολύμων ὑπῆρχεν ἀναχωρητὴς καλούμενος Ἰωάννης, ὅστις μεγίστην ᾐσθάνετο εὐλάβειαν πρὸς τὴν Θεο-

1) Κεφ. 40, σελ. 2892.
2) Κεφ. 41, σελ. 2896.
3) Κεφ. 42, σελ. 2896.
4) Κεφ. 182, σελ. 3053.

τόκον καὶ τοὺς ἁγίους μάρτυρας. Εἶχε δὲ ἐν τῷ κελλίῳ αὐτοῦ εἰκόνα τῆς Θεοτόκου, ἐν ἀγκάλαις τὸν Θεὸν φερούσης. Ἐπειδὴ δὲ ἐξ εὐλαβείας ἐλαυνόμενος ἀπήρχετο εἰς Ἱερουσαλήμ, ἵνα προσκυνήσῃ τὸν τίμιον Σταυρόν, εἰς τὸ Σίναιον ὄρος καὶ εἰς ἄλλους τόπους ἀφεστηκότας, ἐν οἷς ὑπῆρχον λείψανα ἁγίων μαρτύρων, ἥναπτε λυχνίαν πρὸ τῆς εἰκόνος ταύτης καὶ ἔλεγε τῇ Θεοτόκῳ· «Ἁγία Δέσποινα Θεοτόκε, ἐπειδὴ ὁδὸν μέλλω βαδίσαι μακράν, πολλῶν ἡμερῶν προθεσμίαν ἔχουσαν, τῆς κανδήλας σου φρόντισον, καὶ σβεννυμένην αὐτὴν κατὰ τὴν ἐμὴν πρόθεσιν φύλαξαι· ἐγὼ γὰρ τὴν σὴν βοήθειαν συνοδοιπόρον ἔχων ἀπέρχομαι». Ἐπιστρέψας δὲ εὕρισκε τὴν λυχνίαν ἁπτομένην, ὡς αὐτὴν κατέλιπεν, εἰ καὶ ἦν μακρὰν ἕνα μῆνα, δύο ἢ καὶ τρεῖς[1]. Ἔλεγον ἐπ' ἴσης περὶ αὐτοῦ, ὅτι ἡμέραν τινὰ ἐν ὁδῷ στενωτάτῃ μεταξὺ δύο φραγμῶν περιπατῶν εἶδε λέοντα ἐξ ἐναντίου ἐρχόμενον. Ἀνάγκη ἦν, ὅπως εἷς τῶν δύο ὑποχωρήσῃ. Ὁ λέων ἰδὼν αὐτὸν προχωροῦντα ἔστη ὄρθιος ἐπὶ τῶν ὀπισθίων ποδῶν, ἵνα διέλθῃ ἐλευθέρως. Ἀδελφὸς δέ τις προσελθὼν αὐτῷ καὶ οὐδὲν ἐν τῷ σπηλαίῳ εὑρὼν εἶπε· «Πῶς κάθῃ ὧδε, πάτερ, μὴ ἔχων τὰς χρείας σου»; Ὁ δὲ γέρων ἐποιήσατο αὐτῷ τὴν ἑξῆς ἀπάντησιν· «Τὸ σπήλαιον τοῦτο, τέκνον, κήρωμά ἐστι, δός, λάβε»[2].

2) Ἴδε Revue Biblique, Ἰανουάριος, ἀρ. 1, 1914, σελ. 112—115 καὶ P. Abel, une Croisière autour de la Mer Morte, Παρίσιοι, 1911, σελ. 88 καὶ 98.

Α.Π.Θ.

### *Ἓν διήγημα περὶ Ἀλεξάνδρου ξενοδόχου Ἀσκάλωνος.*

Ἀλέξανδρος ὁ ξενοδόχος Ἀσκάλωνος καὶ ὁ σχολαστικὸς Ἀλέξανδρος ἐπίσης ἐξ Ἀσκάλωνος εἶναι ἓν καὶ τὸ αὐτὸ πρόσωπον. Παῦλος ὁ Ἑλλαδικὸς ἐν τῷ πρὸς τὸν ἅγιον Θεόγνιον ἐγκωμιαστικῷ αὐτοῦ λόγῳ, ἀπαγγελθέντι περὶ τὸ 526, ὁμιλῶν περὶ αὐτοῦ λέγει· «Ἀλέξανδρος, ὁ τῆς ἡμετέρας γενεᾶς τίμιος μαργαρίτης, ὁ τῆς Ἀσκαλωνιτῶν μὲν σχολαστικὸς γεγονώς, τοῖς δὲ φιλερήμοις καὶ ἐναρέτοις πατράσι συναριθμούμενος, ὁ μὴ μόνον ὑπὸ πιστῶν ἀνθρώπων γνησίως ἀγαπηθεὶς διὰ τὴν τῶν οἰκείων τρόπων καὶ ἔργων χρηστότητα καὶ φιλανθρωπότητα, ἀλλὰ καὶ ὑπ' ἀπίστων. Ἡνίκα πρώην ἐγὼ κατέλιπον τὴν Ἑλλάδα, κατήντησα δὲ εἰς Παλαιστίνην, καὶ τῷ ἀνδρὶ συντυχὼν ἠρώτησα ποῖ με χρὴ καταχθῆναι ὠφελείας δεόμενον ψυχικῆς, ἔλεγέ μοι ὅτι· Σύντυχε τῷ κυρῷ Θεογνίῳ καὶ πάντως ὠφεληθήσῃ· ἂν δὲ καὶ ἀρέσῃ σοι, μεῖναι πάντοτε ἐν τῷ μοναστηρίῳ αὐτοῦ, χάριτας ὀφλήσεις καλῶς συμβουλεύοντι»[1]. Κατὰ τὰς ἀνωτέρω καὶ τοῦ ἐπομένου διηγήματος πληροφορίας, ὁ ξενοδόχος καὶ ὁ σχολαστικὸς ὁρμῶντο ἐκ τῆς αὐτῆς πόλεως, καὶ ἐκαλοῦντο διὰ τοῦ αὐτοῦ ὀνόματος· ἄρα πρόκειται περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου, ὅστις σχολαστικὸς ὢν τὸ πρότερον, περιεβλήθη τὸ μοναχικὸν σχῆμα βραδύτερον, διὰ δὲ τρόπων χρηστότητα προήχθη εἰς ξενοδόχον τῆς ἰδίας αὐτοῦ πόλεως.

Ἐν τῷ διηγήματι τούτῳ, ὅπερ ἴσως ἀνήκει τῷ Μόσχῳ, ἀπαντᾶται καὶ ὁ τύπος τῆς εὐχῆς τῆς παραθέσεως, ἀπαγγελλομένης ἐπ' ἀδελφῷ ἀποστελλομένῳ εἰς διακονίαν, ἢ καὶ ἐναρέτου ἐρημίτου ἐπὶ ἀπολύσει μοναχοῦ ἐπισκεψαμένου αὐτόν. Δυστυχῶς ὅμως πλὴν τῆς τοῦ ἁγίου Γερασίμου λαύρας οὐδεμία ἄλλη μνημονεύεται ἐκ τῶν παρὰ τὸν Ἰορδάνην, οὔτε τὸ ὄνομα τοῦ πρυορατικοῦ ἀναχωρητοῦ, οὔτε τὸ τοῦ εὐγενοῦς Σκυθοπολίτου· οὐχ ἧττον ὅμως δημοσιεύομεν τοῦτο, διότι τὸ περιεχόμενον αὐτοῦ ἀνάγεται εἰς τὴν πρὸ τῶν Περσικῶν ἐποχήν, ὡς εὕρηται ἐπὶ ἑνὸς καὶ μόνου χειρογράφου τῆς βιβλιοθήκης τοῦ Ἱεροῦ ἡμῶν Κοινοῦ.

### *(Πατριαρχικὴ συλλογὴ ὑπ' ἀριθμ. 113, φύλ. 175α—177α)*

«Διηγήσατό τις τῶν πατέρων καὶ ἁγίων ἀνδρῶν περὶ τούτου τοῦ μακαρίου Ἀλεξάνδρου τοῦ ξενοδόχου Ἀσκάλωνος[2], ὅτι μέλλων

1) Βίος ἁγίου Θεογνίου, κεφ. 17, σ. 52. (Βίοι Παλαιστινῶν ἁγίων ὑπὸ Κλεόπα Κοικυλίδου, Ἱεροσόλυμα 1907).

2) Τοῦ ξενοδοχείου Ἀσκάλωνος μνείαν ποιεῖται καὶ ὁ Μόσχος (κεφ. 154), ὅστις ἐπισκεφθεὶς τοῦτο, συνήντησεν ἐκεῖ πρεσβύτερόν τινα Εὐσέβιον ὀνόματι.

ποτὲ ἐπὶ τὴν συνήθη αὐτῷ διάβασιν τῆς ἐρήμου, κατ' ἔτος ἀπήρχετο ἐπὶ τὸ αὐτό, ἑταίρα τις ἀκούσασα ὅτι μέλλει ἀπιέναι, ἔλαβεν ὅσον εἶχε χρυσίον· ἐλθοῦσα δὲ εὗρεν ὅτι ἐξῆλθε καὶ εἴχετο τῆς ὁδοῦ. Ὡς οὖν εἶχεν ἡ γυνὴ κατέδραμεν αὐτόν, καὶ καταλαβοῦσα ἔκραξε· Κῦρι, διὰ τὸν Θεὸν μεῖνόν μοι. Εὐθέως οὖν ὁ μακάριος λέγει· ἄφες ἴδωμεν τί θέλει. Ἐλθοῦσα τοίνυν, ρίπτει ἑαυτὴν εἰς τοὺς πόδας αὐτοῦ κλαίουσα καὶ λέγουσα· Δέσποτά μου, ποίησον μετ' ἐμοῦ ἔλεος τῆς ἁμαρτωλοῦ καὶ λάβε τὸν μισθὸν τῶν ἐμῶν ἀνομιῶν καὶ διάδος ὅπου οἶδας, ἴσως διὰ τούτου μικρόν τινα κουφισμὸν εὑρήσω ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Δεξάμενος οὖν ὁ μακάριος τὸ χρυσίον ἀπήει ἐπὶ τὴν ὀρεινὴν καὶ ἐπισκεψάμενος, ἅμα καὶ παρακαλέσας τὰ ἐν αὐτῇ μοναστήρια, κατῆλθεν ἐπὶ τὸν Ἰορδάνην, ὀφείλων κἀκεῖ τὰ συνήθη διαπράξασθαι. Κατατήσας οὖν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Γερασίμου καὶ πάντας τοὺς ἐν τῷ τόπῳ φιλοφρονησάμενος, ὡς ἔμελλεν ἐκεῖθεν ἐξιέναι, λέγουσιν αὐτῷ οἱ τοῦ τόπου· Ἡδέως ἔχεις, κῦρι, εὐλογηθῆναι παρά τινος ἀναχωρητοῦ. Ὁ δὲ λέγει αὐτοῖς, ποιήσατε ἀγάπην καὶ λάβετέ με πρὸς αὐτόν· [καὶ] ἰδοὺ ὁ ἅγιος εἰς ὑπάντησιν αὐτῶν ἤρχετο. Ὡς δὲ πρὸς αὐτὸν ἐγένοντο, ἔρριψαν ἑαυτοὺς χαμαί, καὶ εὐλογήσας πάντας, ἤρξατο λέγειν· Καλῶς ἦλθες, κῦρι Ἀλέξανδρε, ἐργάτα τοῦ Χριστοῦ. Μετὰ οὖν τὸ συντυχεῖν ἐκβάλλει ὁ μακάριος Ἀλέξανδρος δοῦναι αὐτῷ ἐκ τῆς εὐλογίας, ἧς ἐπεφέρετο. Καὶ λέγει αὐτῷ ὁ ἅγιος, ὀλίγα εἰσί. Νομίσας δὲ ὁ μακάριος ὅτι τῷ ὄντι ὡς πλείονα ἐπιζητῶν, ὡς εἶχε μηδὲν ἀναδυείς, προσήγαγε τῷ Ὁσίῳ ὅσον ἐπεφέρετο χρυσόν, καὶ λέγει αὐτῷ· Τοῦ Θεοῦ, δέσποτά μου, καὶ τῆς ἁγιωσύνης σου εἰσὶ πάντα. Τότε λέγει αὐτῷ ὁ ἅγιος· Ὁ Θεὸς εὐλογήσει σε, τέκνον, πλὴν ἐγὼ τούτων οὐ χρήζω, ἀλλὰ τὸ κοδρίν, ὃ ἔδωκέ σοι ἡ ἀδελφὴ ἐκείνη ὡς ἐξήρχου ἀπὸ Ἀσκάλωνος, λάβε καὶ ἄπελθε εἰς Σκυθόπολιν καὶ δὸς αὐτὸ ἐκεῖ τοῖς χρείαν ἔχουσι. Καὶ λέγει ὁ μακάριος· Ἡ μὲν ἐντολὴ καλὴ καὶ ἀναγκαία, τί δὲ ποιήσω, δέσποτά μου, ὅτι οὔτε τὴν ὁδὸν ἐπίσταμαι οὔτε τὴν πόλιν· ὅμως ποιήσοι ὁ Κύριός μου εὐχὴν[1] καὶ παράθηταί μοι τῷ Θεῷ καὶ ὑπάγω. Τοῖς ἁγίοις αὐτοῦ ρήμασιν ἐφοδιάσας ἀπέλυσεν αὐτόν, εἰπών· ὁ Θεὸς ὁ δεσπότης τῶν ἁπάντων τὸν ἅγιον αὐτοῦ ἄγγελον ἐξαποστέλλει πρὸ προσώπου σου. Τότε λέγει αὐτῷ ὁ μακάριος· Ἐπειδὴ ὡς εἶπον, δέσποτά μου, καὶ τὴν πόλιν ἀγνοῶ, οὔτε τὸ πρόσωπον ἐπίσταμαι τῷ χρείαν ἔχοντι, πῶς κελεύεις ἵνα ποιήσω; Λέγει αὐτῷ ὁ ἅγιος· Εἰσερχόμενος εἰς τὴν πόλιν, ἀναζήτη-

1) «Ἐπειδὴ ***ἡ ἡμέρα λοιπὸν παρῆλθε καὶ οὐκ ἠγείρετο*** (ὁ διορατικὸς ἀναχωρητὴς) ***λέγει*** (ὁ ἅγιος Σάβας)· ***παράθου ἡμᾶς τῷ Χριστῷ Πάτερ»*** (Βίος ἁγίου Σάβα κεφ. κε'. ἐν Νέᾳ Σιὼν Τόμ. ΙΓ'. σ. 762).

σον τόνδε τὸν τόπον, καὶ ἀπελθὼν εὑρήσεις ἐν τῷ τόπῳ ἀναπατοῦντά τινα τοιᾶσδε ἡλικίας, καὶ φόρεμα ἔχοντα τοιόνδε καὶ σχῆμα· Διανοίξας τοίνυν τὴν ὁδόν, τὸ δὴ λεγόμενον Παρμοῦ, ταχύτερον καὶ εἰσερχόμενος ἐν τῇ πόλει περιειργάσατο, καὶ κατὰ τὸ προρρηθὲν ὑπὸ τοῦ ἁγίου οὕτως εὗρε. Καὶ προσελθὼν τῷ ἀνθρώπῳ ἠσπάσατο αὐτόν· ὁ δὲ οὐκ ἔδωκεν αὐτῷ ἀπόκρισιν, ἦν γὰρ ἐν στενοῖς ἡ ψυχὴ αὐτοῦ. Καὶ διαστήσας ὀλίγον ὁ ἐν ἁγίοις, πάλιν μετὰ τοῦ ταπεινοῦ καὶ ἐνθέου αὐτοῦ ἔθους ἠσπάσατο αὐτόν· ὁ δὲ ἀποβδελυξάμενος αὐτὸν ὡς ξένον οὐκ ἔδωκεν αὐτῷ ἀπόκρισιν. Εἶτα μὴ ἀκηδιάσαντος τοῦ θηρευτοῦ τῶν καλῶν Ἀλεξάνδρου τοῦ μακαρίου, ἀλλ' ἐπιμείναντος, προσέρχεται αὖθις καὶ λέγει αὐτῷ· Δέξαι με ἐὰν κελεύῃς, κῦρι, τίς ποτε γὰρ τῶν ἁγίων ἀπέστειλέ με πρός σε. Ὡς οὖν ἤκουσε τὸ ὄνομα τοῦ ἁγίου, μεταβληθεὶς ἐκ τῆς ὀλιγωρίας ἐπέδωκεν αὐτῷ· καὶ λέγει αὐτῷ ὁ μακάριος, τί ἔχεις κῦρι; τί ἐστι τὸ συνέχον σου τὴν ψυχήν; Μηδὲν δὲ ἐκεῖνος ἀποκρινόμενος, ἀλλ' ἢ τὸ φελώνιον ὃ ἐφόρει κουφήσας καὶ ἐκβαλὼν τὴν ἀριστερὰν χεῖρα ἔχουσαν σχοινίον, λέγει μετὰ τοῦ σχήματος· Ἴδε τί ἔχω, καὶ διὰ τοῦτο ὀλιγωρῶ. Καὶ λέγει ὁ μακάριος τί ἐστι τοῦτο; καὶ λέγει ἐκεῖνος· ἆρες με, Ἀββᾶ, ἀποθάνω· τί ἦλθες ἀναξάναι τὰ κακά μου; ὁ δὲ μακάριος πεσὼν εἰς τὸ στῆθος αὐτοῦ— ἦν γὰρ φιλάνθρωπος, εἴ καί τις ἄλλος—παρεκάλει λέγων· διὰ τὸν Κύριον τὸν Θεὸν εἰπέ μοι, τί ἐστιν ἡ τοσαύτη ἀθυμία, κῦρι, ἡ συνέχουσά σε; ἴσως δώσει ὁ Θεὸς καὶ γίνομαι ἄξιος τοῦ χρησιμεῦσαί σοι. Τότε ἤρξατο λέγειν, ὅτι ἐκ τῶν ἐμῶν ἀνομιῶν περιεπάρην πράγμασι καὶ κατάχρεως γενόμενος καὶ ὀχλούμενος ὑπὸ τῶν δανειστῶν, μὴ φέρων ἐπὶ τοσοῦτον διαπέμπεσθαι αὐτούς, ἀνθρώπους χρησιμεύσαντάς μοι ἐν καιρῷ χρείας μου, ἠρησάμην ἀπάγξασθαι, μὴ φέρων τὴν ἀπορίαν, ἐπειδὴ ἀπὸ εὐγενῶν εἰμι, καὶ ἐσπούδαζον ἐν οἷς ἐδίδουν ἢ ἐλάμβανον βλάβην μὴ ποιῆσαί τινι. Ὁ δὲ δοῦλος τοῦ Χριστοῦ ὡς ἤκουσε ταῦτα δακρύων λέγει αὐτῷ· Μὴ καταπέσῃς, δέσποτά μου, ὅσα ἔχουσιν οἱ χριστιανικῶς ζῶντες ἀλλήλων εἰσί· εἰπὲ οὖν τὴν ὁλκὴν τοῦ χρέους σου καὶ ὁ Θεὸς βοηθεῖ. Αὐτοῦ οὖν εἰπόντος, ὅτι τόση ἐστί, παραχρῆμα λαβὼν δέδωκεν αὐτῷ, ὅσα εἶπε χρεωστεῖν καὶ ἄλλα τινὰ δοὺς αὐτῷ εἰς ἀναλώματα. Οὕτω ῥυσάμενος ἐκ τοῦ διπλοῦ θανάτου τὸν ἄνθρωπον ἐξῆλθε τῆς πόλεως τὴν ἄσυλον καὶ ἄρευστον πραγματείαν ἐπιφερόμενος».

Α.Π.Θ.

## *Τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀββᾶ Μάρκου τοῦ ἀσκητοῦ*
## *Εἷς ἀνέκδοτος λόγος*

---

### *Ἀντίζυγα κακιῶν ταῖς ἀρεταῖς.*

Ὁ Ἀββᾶς Μᾶρκος, ὁ διὰ τὸ αὐστηρὸν τοῦ βίου αὐτοῦ ἐπικληθεὶς ἀσκητής, κατέχει σπουδαιοτάτην θέσιν μεταξὺ τῶν ἐν Νιτρίᾳ συγγραφέων ἐρημιτῶν μοναχῶν, Μακαρίου τοῦ Αἰγυπτίου καὶ Ἀλεξανδρέως, Ἀμμωνᾶ, Ἡσαΐου, Μωϋσέως τοῦ Αἰθίοπος, Εὐαγρίου τοῦ Ποντικοῦ καὶ πλείστων ἄλλων.

Αἰγύπτιος ὢν τὸ γένος, ὁ Μᾶρκος καὶ ἐν νεαρᾷ ἡλικίᾳ περιβληθεὶς τὸ μοναχικὸν ἔνδυμα, διήνυσε τοὺς ἀσκητικοὺς αὐτοῦ ἀγῶνας ἐν Νιτρίᾳ. Πρὸς τοῖς ἄλλοις αὐτοῦ προτερήμασιν ἐκοσμεῖτο καθ' ὑπερβολὴν διὰ πρᾳότητος καὶ σωφροσύνης[1]. Ἀσχολούμενος δὲ πάντοτε εἰς τὴν μελέτην τῶν ἁγίων Γραφῶν ἀπεστήθισε τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην[2]. Μακάριος ὁ Ἀλεξανδρεὺς διηγήσατο τῷ Παλλαδίῳ, ὅτι «κατὰ τὸν καιρὸν τῆς διαδόσεως τῶν τοῦ Χριστοῦ μυστηρίων, Μάρκῳ τῷ ἀσκητῇ οὐδέποτε ἔδωκα ἐγὼ προσφοράν, ἀλλ' ἄγγελος αὐτῷ ἐπεδίδου ἀπὸ τοῦ θυσιαστηρίου λαμβάνων· μόνον δὲ τὸν ἀστράγαλον τῆς χειρὸς ἐθεώρουν ἐγὼ τοῦ ἐπιδιδόντος τούτῳ τὴν κοινωνίαν»[3]. Ἐπιποθῶν πλειοτέρας παιδεύσεως κατέλιπε τὸ ἀσκητήριον αὐτοῦ βραδύτερον, καὶ ἀπελθὼν πρὸς Ἰωάννην τὸν Χρυσόστομον ἐγένετο εἷς τῶν μαθητῶν αὐτοῦ[4]. Ἐπιστρέψας ἐν τῇ ἐρήμῳ διέμεινε μέχρι τέλους τοῦ βίου αὐτοῦ. Διαπρέψας δὲ ἐπὶ παιδείᾳ καὶ μοναχικοῖς κατορθώμασι καὶ ἔμπειρος τοῦ πνευματικοῦ βίου γενόμενος κατέλιπεν ἱκανὰ συγγράμματα πλήρη πνευματικῆς σοφίας, ἐξ ὧν ἀρκετὰ μὲν ἐδημοσιεύθησαν (Πατρολογ. τόμ. 65, σ. 905—1117 καὶ Φιλοκαλ. τόμ. α'. σ. 56—73), τινὰ δὲ μένουσιν ἔτι ἀνέκδοτα ἐν διαφόροις βιβλιοθήκαις ἐναποκείμενα, μεταξὺ τῶν ὁποίων καὶ ὁ ἑπόμενος ἀνέκδοτος λόγος: «*Ἀντίζυγα κακιῶν ταῖς ἀρεταῖς*», ληφθεὶς ἐκ τῆς ἐν τῷ Ἄθῳ βιβλιοθήκης τῆς ἱερᾶς Μονῆς τοῦ Ξενοφῶντος, κατὰ χειρόγραφον τοῦ ΙΔ'. αἰῶνος[5].

1) Σωζομέν. ἐκκλ. ἱστορ. στ'. 29.

2) Αὐτόθ. Παλλαδίου Λαυσαϊκὴ ἱστορία κεφ. κ'. σ. 60. ἔκδ. Αὐγουστίνου μοναχοῦ Ἱεροσόλυμα 1914.

3) Λαυσαϊκ. ἱστορ. κεφ. ιθ'. σ. 60.

4) Νικηφόρ. Καλλίστου, ἐκκλ. ἱστορ. ιδ'. 30, 54.

5) Τὴν ἀντιγραφὴν τοῦ λόγου τούτου πάνυ εὐγενῶς ἐποιήσατο ὁ ἐπὶ πολλῷ ζήλῳ διακρινόμενος Πανοσιώτατος Ἀρχιμανδρίτης καὶ Προηγούμενος τῆς ἱερᾶς Μονῆς τοῦ Ξενοφῶντος, εἰς ὃν καὶ δημοσίᾳ ἐκφράζω τὰς ἐγκαρδίους εὐχαριστίας μου.

Ὁ λόγος οὗτος πρῶτον ἤδη δημοσιευόμενος οὐδὲν τὸ κοινὸν ἔχει πρὸς τὸν τοῦ Ἀββᾶ Νείλου, ὁμοίως ἐπιγραφόμενον: «***Περὶ τὰς ἀντιζύγους τῶν ἀρετῶν κακίας***», καὶ ἀπευθυνόμενον πρὸς τὸν μοναχὸν Εὐλόγιον (Πατρολογ. τόμ. 79, σ. 1140—1144). Ἕτερος ὅμως λόγος τοῦ Ἀββᾶ Νείλου: «***Παραίνεσις πρὸς Μοναχοὺς***» (Αὐτόθ. σ. 1236—1240), περιλαμβάνεται σχεδὸν ὁλόκληρος ἐν τῷ λόγῳ τούτῳ· ἐπειδὴ δὲ ὑπάρχουσι διαφοραί τινες μεταξὺ ἐκείνου καὶ τοῦ ἐνταῦθα κειμένου, ὑποσημειοῦνται αὗται.

### *Κῶδιξ χαρτῷος ὑπ' ἀρ. 738, 36, αἰῶνος ΙΔ'. σελ. 403-407 ἐκ τῆς ἐν τῷ Ἄθῳ βιβλιοθήκης τῆς ἱερᾶς Μονῆς τοῦ Ξενοφῶντος*[1].

Α'. Ἀκροώμενος λόγον ἐρώτα τὸν νοῦν σου, καὶ τότε διακρίνας, τὸ ψήφισμα δώσεις. Μὴ παραλογίζου τὸν νοῦν σου ἀβουλίᾳ ῥημάτων, ἵνα μὴ κρημνισθῇ σου ἡ ἀχαλίνωνος γλῶσσα. Ὃν τρόπον ἱπτάμενον ὄρνεον τέμνει τὸν ἀέρα, οὕτω καὶ ψυχὴ ὑψοῦται πτερωθεῖσα ταῖς ἀρεταῖς. Ὥσπερ νέφη κωλύουσι φαίνειν τοῦ ἡλίου τὰς ἀκτῖνας, οὕτω καὶ ἡ ὀργὴ σβέννυσι τὸ φέγγος τῆς ψυχῆς. Ὃν τρόπον ὑετοῦ σταγόνες ἀμέτρητοι, οὕτω καὶ ἡ σοφία τοῦ Θεοῦ ἀνεξιχνίαστος. Ὥσπερ ὕδωρ ἀνενέγκαι εἰς ὕψος, μὴ συγκλεισθὲν πανταχόθεν τοῦ μὴ ἔχειν ἔκβασιν, ἀδύνατον, οὕτω καὶ ὁ νοῦς οὐκ ἂν φρονήσῃ τὰ ἄνω καὶ ἐν τῇ χώρᾳ γένηται τῶν ἀσωμάτων, μὴ καθαρεύσας νοῦν. Ὥσπερ οὐκ ἔστι κατιδεῖν ἐν ὕδατι σαλευομένῳ τὴν ἑαυτοῦ εἰκόνα, οὕτω καὶ ὁ νοῦς οὐ δυνήσεται ὡς ἐν ἐσόπτρῳ θεάσασθαι τὸν Κύριον μὴ τὰ ἔνδον διορθωσάμενος καὶ ἐκκαθάρας τὴν ψυχὴν τῶν ὑλικῶν παθημάτων. Ὡς οὐκ ἔστι πύργον οἰκοδομῆσαι ἄνευ τεχνίτου, οὕτω οὐκ ἔστι κτήσασθαι Θεοῦ σοφίαν ἄνευ πολέμου· καὶ οὐκ ἔστι κατορθῶσαι τὸν πόλεμον ἄνευ φρονήσεως, καὶ οὐκ ἔστιν εὑρεῖν φρόνησιν ἄνευ πόθου περὶ τὸ θεῖον καὶ σπουδῆς. Ὥσπερ δένδρον οὐ ποιεῖ καρπὸν μὴ χρονίσαν ἐν τῇ γῇ, οὕτω καὶ ὁ ἄνθρωπος οὐ ποιήσει καρπὸν δικαιοσύνης τέλειον, μὴ ὑπομείνας θλίψεις καὶ πειρασμοὺς διὰ τὴν ἀλήθειαν. Ὡς οὐκ ἔστιν ἐκ σιδήρου σκεῦος γενέσθαι μὴ βληθὲν ἐν καμίνῳ, οὕτως οὐκ ἔστι γενέσθαι τινὰ ὅσιον ἄνευ πειρατηρίου τοῦ ἐναντίου μὴ καρτερήσαντα. Ὁ φεύγων πειρασμὸν ἐπωφελῆ φεύγει ζωὴν αἰώνιον[2].

1) Σ. Π. Λάμπρου, Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους Ἑλληνικῶν κωδίκων, τόμ. α'. σ. 65, Κανταβριγία 1895.

2) «***Εἶπε γέρων· ἔπαρον τοὺς πειρασμοὺς καὶ οὐδεὶς ἅγιος. Ὁ γὰρ φεύγων πειρασμὸν ἐπωφελῆ, φεύγει ζωὴν αἰώνιον· τοὺς γὰρ στεφάνους τοῖς ἁγίοις οἱ πειρασμοὶ προεξένησαν***» (Γεροντικὸν φύλ. 276α, Σιναϊτικ. κωδ. ὑπ' ἀρ. 448).

Καὶ ὁ μὴ ὑπομείνας θλῖψιν διὰ τὸν Κύριον, οὐκ ὄψεται τὸν νυμφῶνα αὐτοῦ. Ὥσπερ ὕδωρ αὔξει φυτόν, οὕτω θλῖψις διὰ δικαιοσύνης αὔξει ψυχήν. Ὁ μὴ ὑποπιάζων καὶ δουλαγωγῶν τὸ σῶμα αὐτοῦ, ἀλλ' ἐκτελῶν ἐπιθυμίας σαρκὸς αὐτοῦ, οὐ δειπνήσει τὸ ἀληθινὸν δεῖπνον. Ὥσπερ οὐκ ἔστιν ὁ ἥλιος αἴτιος τῷ τυφλῷ μὴ φωτίζων αὐτόν, ἡ γὰρ ἀμβλυωπία τοῦ ὀφθαλμοῦ αἰτία γέγονεν, οὕτω καὶ ὁ σκοτισθεὶς ἀπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης ἑαυτὸν καταμεμφέσθω, ἐκ γὰρ ματαίας ἀναστροφῆς συμβήσεται αὐτῷ τοῦτο. Ὥσπερ οὐκ αἰσθάνεται νεκρὸς ἐπαίνου καὶ ὕβρεως, οὕτως οὐδὲ ὁ πιστὸς δόξης καὶ ἀτιμίας καὶ καταφρονήσεως· Ὥσπερ πηγὴ περικαθαιρομένη τὰς περικειμένας ὕλας διαυγὲς ὕδωρ βρύει, τὸν αὐτὸν τρόπον καὶ ὁ νοῦς περικαθαρθεὶς ἀπὸ ὀργῆς καὶ μνησικακίας καὶ φροντίδος σωματικῆς, καθαρὰν γνῶσιν εὑρίσκει, γλυκὺν πόθον ἐμποιῶν τῷ κεκτημένῳ. Ὁ ἐν ὁδῷ ἀρξάμενος βαδίζειν, ἐὰν μὴ τελέσῃ τὴν ὁδοιπορίαν, ἀλλ' ἐν μέσῃ τῇ ὁδῷ παύσηται, εὐκαταγέλαστος γενόμενος τῶν ἀμφοτέρων ὁδῶν, ἐκπεσεῖται καὶ τῆς ἀφ' ἧς ἐξελήλυθε καὶ εἰς ἣν ὥρμησεν, οὕτω καὶ ὁ ἐναρξάμενος θείῳ νόμῳ πορεύεσθαι, ἐὰν μὴ τελέσῃ τὸν δρόμον, ἀδόκιμος καὶ πλήρης γέλωτος γενόμενος, ἀϊδίου ζωῆς στερηθήσεται[1]. Ὡς ἀδύνατόν ἐστιν ἀθλητὴν στεφανωθῆναι μὴ παλαίσαντα, οὕτως οὐκ ἔστι γενέσθαι χριστιανὸν[2] τέλειον μὴ νικήσαντα τὴν ἁμαρτίαν. Ὥσπερ οὐκ ἔστιν ὁ ζυγὸς ἴσος, βαρυνομένου τοῦ ἑνὸς μέρους, οὕτως οὐκ ἔστι κατορθῶσαι ἐντολὴν Θεοῦ κατακρατοῦντος τοῦ θελήματος τῆς σαρκός. Ὡς οὐκ ἔστι μαθεῖν τέχνην μὴ σχολάσαντα ἐπιμόνως, οὕτως οὐκ ἔστι κτήσασθαι προσευχὴν μὴ προσκαρτερήσαντα τῷ Θεῷ ἐν εὐθείᾳ καρδίᾳ. Ὁ δὲ [μὴ κεκτημένος προσ]ευχὴν καθαράν, οὐκ ἔχει ὅπλον εἰς πόλεμον. Ὁ κεκοσμημένος καὶ σεσαρωμένος ἀπὸ ἀρετῶν Θεοῦ, κατοικητήριόν ἐστι δαιμόνων. Ὡς οὐκ ἔστι βασιλέα κατοικῆσαι ἐν οἰκίᾳ πένητος, οὕτως οὐ μὴ κατοικήσει Χριστὸς ἐν ἀνδρὶ[3] ρερυπωμένῳ ἁμαρτίαις. Ὥσπερ ἀνήμερος τόπος ἡμεροῦται δι' ἐπιμελοῦς φιλεργίας, οὕτω ψυχὴ ἀγριωθεῖσα ταῖς ἁμαρτίαις ἡμεροῦται, ἐὰν ἐν νόμῳ Θεοῦ πολιτεύσηται. Ὥσπερ πέτρα ἑδραία οὖσα ἐν τῇ θαλάσσῃ, ἀσάλευτος μένει κατακρουομένη ὑπὸ τῶν κυμάτων, οὕτω καὶ ὁ τὰς ἀρετὰς κατορθώσας καὶ ταύταις ὅλως ἀνακραθείς, οὐ συλευθήσεται ὑπὸ τοῦ διαβόλου. Ὥσπερ ἰατρὸς πρὸς τὴν τοῦ πάθους θεραπεί-

1) Τὰ ἑπόμενα μέχρι: «***εἰ μὴ μετὰ πάσης ἀκριβείας καὶ ὑπομονῆς ἡσυχάσαι***», μικρὸν πρὸ τοῦ τέλους τοῦ λόγου, ἀπαντῶνται καὶ ἐν τῷ τοῦ Ἀββᾶ Νείλου «Παραίνεσις πρὸς μοναχοὺς» λόγῳ.

2) ***Ἄνευ ἀγώνων*** παρὰ τῷ Νείλῳ.

3) ***Ἐν ψυχῇ ρερυπωμένῃ ἁμαρτίαις.***

αν ἐπινοεῖ τὰ φάρμακα, οὕτω[1] καὶ ὁ προνοητὴς ἡμῶν Ἰησοῦς Χριστὸς ἑκάστῃ ψυχῇ πρὸς τὸ συμφέρον αὐτῇ ἐπάγει τὴν θεραπείαν. Ὥσπερ χαράδρα ἑαυτῇ ἐντέμνει τὴν ὁδόν, οὕτω καὶ ἡ ἁμαρτία παραδεχθεῖσα κατεργάζεται τῷ κεκτημένῳ αὐτὴν τὴν ἀπώλειαν. Ὡς οὐκ ἔστιν εἰς λίνα ἐμπεσόντα ἔλαφον εὐχερῶς ἐκφυγεῖν, οὕτως[2] οὐκ ἔστιν ἐκφυγεῖν ἁμαρτίας ὁ τὰς ἐπιθυμίας ἐκτελῶν ἑαυτοῦ[3] καὶ ἐν τῷ κόσμῳ ἀναστρεφόμενος· ἐπιθυμίαι γὰρ πονηραὶ σειραὶ δύσλυτοι. Ὥσπερ ἄμπελος, μὴ ποιοῦσα καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται, ἵνα μὴ καὶ τὴν γῆν καταργῇ, οὕτω καὶ ἀπὸ Χριστοῦ ἐκριζωθήσεται πᾶς ὁ μὴ ποιῶν καρπὸν Πνεύματος ἁγίου. Ὥσπερ ἀμήχανον μὴ βλαβῆναι ἄνθρωπον κρουσθέντα ὑπὸ βέλους, οὕτως ἀμήχανον μοναχὸν καταδεξάμενον λογισμὸν πονηρὸν μὴ τρωθῆναι. Ὥσπερ ὁ ἐξελθὼν ὁδοῦ εὐθείας πλανᾶται ἐν ἀλλοδαπῇ χώρᾳ, μὴ ἐπιστάμενος ποῦ πορεύεται, οὕτω καὶ ὁ ἄνθρωπος πλανᾶται μὴ πιστεύων εἰς ὁμοούσιον Τριάδα.

Β'. Ὥσπερ πῦρ[4] εἰς πολλὰ διαιρούμενον ἕν ἐστι τῇ φύσει, οὕτω καὶ ἡ ἁγία Τριάς, εἰ καὶ τοῖς ὀνόμασι καὶ ταῖς ὑποστάσεσι διαιρεῖται, ἀλλὰ μία ἐστὶ τῇ φύσει. Θεοῦ δὲ φύσιν οὐ μὴ καταλάβοις, οὐδ' εἰ πτεροῖς πετώμενος· ὁ Θεὸς γὰρ ἀκατάληπτός ἐστι, καθότι καὶ κτίστης ἡμῶν. Ὥσπερ τὸ κατασκευαζόμενον σκεῦος ἀγνοεῖ τοῦ κατασκευάσαντος τὴν ἀρχὴν καὶ τὴν φύσιν, οὕτω οὐδὲ ὁ ἄνθρωπος δυνήσεται ἐξευρεῖν Θεοῦ φύσιν καὶ ἀρχήν. Τὴν Τριάδα μὴ περιεργάζου, ἀλλὰ μόνον πίστευε· ὁ γὰρ περιεργαζόμενος οὐ πιστεύει[5]. Πόθησον ἔνδυμα φωτεινὸν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ὑπὲρ πᾶσαν στολὴν βυσσίνην, οὐ γὰρ ὠφελήσουσιν ὑπάρχοντα ἐν ἡμέρᾳ θανάτου. Ὥσπερ πῦρ καταναλίσκει δρυμόν, οὕτω καταναλωθήσεται πᾶς ἁμαρτωλὸς ὑπὸ τοῦ αἰωνίου πυρός, καὶ οὐ δύναται τελευτῆσαι· ἀθάνατα γὰρ βασανισθήσεται. Οὐδὲν μέγα εἰ γεννώμεθα δίκαιοι, οἷοι[6] γὰρ ἐκτίσθημεν πρῶτον ὑπὸ τοῦ Θεοῦ καλοὶ λίαν, αὐτοὶ γεννησόμεθα. Ὁ παρὰ φύσιν βιῶν, οὐ τηρεῖ ἐντολὰς Θεοῦ. Πᾶσα σοφία ἐστὶ[7] φοβεῖσθαι τὸν Κύριον· πᾶσα δὲ παιδεία ἡ μὴ διδάσκουσα[8] τηρεῖν νόμους Θεοῦ, ἀφροσύνη

1) *Οὕτω καὶ γνῶσις τοῦ Θεοῦ συντηρουμένη διδάσκει τὸν μετέχοντα αὐτῆς, ὅπως ἂν διαφυλαχθῇ, καὶ ἐπὶ μείζονα προέλθοι.*

2) *Οὐ μὴ φύγῃ ἁμαρτίαν ὁ τὰς ἐπιθυμίας.*

3) *Ἑαυτοῦ·* ἐλλείπει.

4) *Τίς εἰς πολλὰ διαιρούμενος.*

5) *Κτήσασθαι σοφίαν καὶ μὴ ἀργύριον, ποιήσατε φωτεινὸν ἔνδυμα.*

6) *Ὃ γὰρ ἐκτίσθημεν ὑπὸ τοῦ Θεοῦ πρῶτον.*

7) *Ἐστί·* ἐλλείπει.

8) *Νόμον Κυρίου, μωρία ἐστὶ καὶ ἀφροσύνη.*

ἐστί. Πᾶσα ἡ κτίσις τῷ προστάγματι τοῦ Θεοῦ πειθαρχεῖ, ὁ δὲ ἄνθρωπος μόνος ἀπειθεῖ, δι' ὃν γέγονε τὰ πάντα[1]. Εἰ οὐ κατορθοῖς τὰ προστάγματα τοῦ Χριστοῦ, μὴ λέγε ἑαυτὸν πιστόν· οὐδὲν παρέξομεν τῷ Θεῷ, εἰ τηρήσομεν ἑαυτοὺς ἁγνούς, ἀλλ' ἑαυτοῖς ζωὴν προξενήσομεν καὶ ἀπόλαυσιν ἀνεκλάλητον[2]. Μὴ εἴπῃς: οὐ δύναμαι τηρῆσαι διὰ τὸν πατέρα[3] μου τὴν ἐντολὴν ἢ δι' ἔργον συγγενοῦς ἢ φίλων· οὐ γὰρ ἐκεῖνοι ῥύσονταί σε τῆς ἐπικειμένης ὀργῆς καὶ τοῦ ἀτελευτήτου σκώληκος. Ἔστω δὲ πᾶς ὁ ἐναντιούμενός σε πρὸς κατόρθωσιν ἐντολῶν Θεοῦ, βδελυκτός. Τῷ τοιούτῳ μηδὲ συνεσθίειν καλόν.

Γ'. Ἀκρασία βρωμάτων περικόπτει νηστεία, ἀκολασίαν δὲ πορνείας περιαιρεῖ ἐγκράτεια μετὰ προσευχῆς. Θυμοῦ καταδρομὴν καταπραΰνει μακροθυμία καὶ ψαλμῳδία· ἀκηδίαν δὲ καταστέλλει ὑπομονὴ καὶ δάκρυα. Λύπην κοσμικὴν κατασιγάζει τὸ μῖσος τὸ πρὸς τὰς ἡδονάς· φιλοξενίαν δὲ ταπείνωσις, καὶ φιλαρχίας καὶ ὑπεροχῆς ἀποστροφή. Ὑπερηφανίαν τὸ ἀρχαῖον κακόν, τὸ βδελυκτὸν ἐνώπιον Κυρίου, τὴν ἀνθισταμένην Θεῷ[4] ἡ μακαρία ταπεινοφροσύνη ἡ ἄμετρος, ἡ λέγουσα· «Ἐγώ εἰμι γῆ καὶ σποδός» (Γένεσ. ιη'. 27). Καὶ πάλιν· «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασεν [ὁ οἰκοδομῶν] καὶ ἠγρύπνησεν ὁ φυλάσσων» (Ψαλμ. ρκστ'. 1-2). Ὥσπερ οὐκ ἔστιν ὕδωρ τεθολωμένον καθαρεῦσαι μὴ μένον ἀσάλευτον, οὕτως οὐκ ἔστι μοναχοῦ[5] συνείδησιν καὶ κατάστασιν καθαρεῦσαι, εἰ μὴ μετὰ πάσης ἀκριβείας καὶ ὑπομονῆς ἡσυχάσαι. Πολυλογία ταράσσει ψυχήν, νυσταγμὸς δὲ ἄμετρος παχύνει διάνοιαν «καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον» (Σοφ. Σολομ. δ'. 12). Γέλως ἄκρατος συνεσταλμένον ἦθος ἀφανίζει, συντυχίαι δὲ πολλαὶ ἕξιν ὀρθὴν ἐπιθολοῦσι. Κακαὶ συντυχίαι ἐοίκασιν ἀνδρὶ κατανυττομένῳ ὑπὸ βέλους, ὅστις ἐὰν χρονίσῃ κεντούμενος, προσθήσει καὶ τὴν ζωήν· αἱ γὰρ καταλαλιαὶ ἀπελαύνουσιν ἡμᾶς τῆς εἰρήνης. Ἐὰν πάντα σου τὸν χρόνον διάξῃς ἐν μοναστηρίῳ, μὴ κτήσῃ δὲ ἀρετὴν τὴν πληροφοροῦσάν σου τὴν διάνοιαν, ὅτι ἐγένου υἱὸς Θεοῦ καὶ μεταβέβηκας ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, οἰκήσαντος τοῦ Κυρίου ἐν σοί, μὴ προσδοκήσῃς κληρονομῆσαι βασιλείαν οὐρανῶν. Σπουδὴ καὶ πό-

1) ***Εἰ οὐ κατορθοῖς— ἑαυτὸν πιστόν·*** ἐλλείπουσι.

2) ***Τῶν αἰωνίων ἀγαθῶν.***

3) ***Ἢ διὰ μητέρα, ἢ διὰ γυναῖκα, ἢ διὰ τέκνα, ἢ δι' ἑτερόν τινα τὴν τοῦ Θεοῦ ἐντολήν· οὐ γὰρ ἐκεῖνοί σε ῥύσονται.***

4) ***Καταπαύει ταπεινοφροσύνη ἀμέτρητος.***

5) ***Κατάστασιν ἐπιγνῶναι ἄνευ ἡσυχίας.*** Ἔνθα καὶ περατοῦται ὁ λόγος τοῦ Ἀββᾶ Νείλου.

Α.Π.Θ.

θος καὶ νέκρωσις σώματος δάκρυα γεωργήσει, τὰ δὲ δάκρυα σμήχει τὴν ψυχὴν ἀπὸ ἁμαρτιῶν, ὃν τρόπον ἡ ἀκόνη τὸν ἰὸν τοῦ σιδήρου ἐπαίρει. Ἡδεῖα ἡ ἡδονή, ἀλλὰ δεινὸν τὸ σκότος τὸ ἐξώτερον· δυσκατόρθωτος ἡ ἀρετή, ἀλλ' ἀνεκλάλητος ἡ δόξα τῶν δικαίων. Ὁ ἀκούων διδαχὴν Θεοῦ, καὶ μὴ ποιῶν δαρήσεται πολλάς. Ὁ εἰδὼς τὸ θέλημα Κυρίου καὶ μὴ ποιήσας μηδὲ ἑτοιμάσας ἑαυτόν, καὶ πᾶς ὁ ἀποστρεφόμενος τὰ λόγια τοῦ Θεοῦ, ὡς ἀπειθὴς τιμωρηθήσεται· ὁ δὲ ἀκούων καὶ ποιῶν τὸ θέλημα τοῦ Κυρίου μακάριος, ὅτι μέτοχος γενήσεται ζωῆς αἰωνίου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

*ΑΥΓΟΥΣΤΙΝΟΣ ΜΟΝΑΧΟΣ*

Ἰορδανίτης

Α.Π.Θ.

# ΔΙΑΦΟΡΟΙ ΕΙΔΗΣΕΙΣ

***Προσκυνηταὶ καὶ περιηγηταὶ κατὰ τὸ 1913.***

Κατὰ τὴν ἀνακοίνωσιν τοῦ Κ. Pavie, Διευθυντοῦ τῆς μεταξὺ Ἰόππης καὶ Ἱερουσαλὴμ σιδηροδρομικῆς γραμμῆς, ὁ ἀριθμὸς τῶν ἐπισκεψαμένων τὴν ἁγίαν Πόλιν προσκυνητῶν καὶ περιηγητῶν, οἵας δήποτε ἐθνικότητος καὶ θρησκείας, ἀνῆλθεν εἰς 26 χιλ. περίπου κατὰ τὸ διαρρεῦσαν ἔτος.

Ἐκ τῶν προσκυνητῶν, Ἕλληνες 1243, Ρῶσσοι 6778, Γάλλοι καθολικοὶ 449, Ἀρμένιοι 1252, Κόπται καὶ Ἀβυσσινοὶ 931, Μωαμεθανοὶ 5742, διάφοροι 3723.

Ἐκ δὲ τῶν περιηγητῶν, Ἄγγλοι 1836, Ἀμερικανοὶ 1103, Γερμανοὶ 861, διάφοροι 510.

Ἤτοι τὸ ὅλον 24,428.

Ὁ ἀριθμὸς οὗτος εἶνε ὑποδεέστερος τῶν προηγουμένων ἐτῶν ἕνεκα τῶν βαλκανικῶν πολέμων.

Αὐστριακοὶ δὲ ὅμιλοι ἔπαυσαν ἐπισκεπτόμενοι τὴν ἁγίαν πόλιν ἀπὸ τοῦ 1911.

Κατὰ τὸ αὐτὸ δὲ χρονικὸν διάστημα οἱ ἐπισκεψάμενοι τοὺς ἁγίους τόπους τοῦ Μωαμεθανισμοῦ Μωαμεθανοί, κατ' ἀνακοίνωσιν τῆς ἑταιρίας τῆς Χετζάζης, διὰ τῆς Τζέδδας, ἀνῆλθον εἰς 97,000 προσκυνητάς, ἐξ ὧν Ἰνδοὶ 12,434, Πέρσαι καὶ κάτοικοι τῆς περιοχῆς Βαγδατίου 3,962, Ἰνδοσῖναι 14, Σιάμιοι 12, Μαροκκηνοί, Ἀλγερῖνοι καὶ Τυνήσιοι 8,158, κάτοικοι Μασκάτης 1385, κάτοικοι Χετζάζης καὶ Ὑεμένης 2,267, Αἰγύπτιοι 12,684, Σουδανοὶ 6,888, κάτοικοι Σινικῆς, Ἰαύας καὶ Πολυνησίας 34,685, Βουχαριῶται 7,450, ἐκ Μικρᾶς Ἀσίας 3,530, Σύριοι 3,131, ἤτοι τὸ ὅλον 97,000 προσκυνηταὶ διὰ θαλάσσης προσελθόντες. Εἰς τὸν ἀριθμὸν τοῦτον προσθετέον 13,000 προσκυνητὰς ἐλθόντας διὰ τοῦ σιδηροδρόμου μέχρι Μεδίνης, ὥστε ὁ ὁλικὸς ἀριθμὸς τῶν προσκυνητῶν, οἵτινες εὑρέθησαν ἐν Μέκκᾳ κατὰ τὰς ἑορτὰς τοῦ Βαϊραμίου, ἀνῆλθεν εἰς 110,000.

## *Σιδηρόδρομος μεταξὺ Πτολεμαΐδος καὶ Χάϊφας.*

Αἱ δύο πόλεις Πτολεμαΐς, καθ' ἡμᾶς Ἄκρη, καὶ Χάϊφα, παράλιοι ἀμφότεραι καὶ εἰς μικρὰν ἀπόστασιν ἀπ' ἀλλήλων κείμεναι, ἡνώθησαν οὐ πρὸ πολλοῦ διὰ σιδηροδρομικῆς γραμμῆς. Πρὸ τῆς κατασκευῆς τῆς γραμμῆς ταύτης ἡ συγκοινωνία μεταξὺ τῶν δύο πόλεων ἐγίνετο δι' ἁμαξῶν, μὴ ὑπαρχούσης δὲ ἁμαξιτῆς ὁδοῦ, αἱ ἅμαξαι αἱ ἀπερχόμεναι ἐκ Χάϊφας διέσχιζον βατὸν μέρος τῆς θαλάσσης ἐν καιρῷ θέρους, διήρχοντο δὲ τὸν χειμῶνα διὰ γεφύρας ἐπὶ τοῦ ποταμοῦ Κισῶν τῆς Γραφῆς (τὰ νῦν Νὰχρ ἐλ Μοκάττα)· καθ' ὅλον δὲ τὸ μέχρι Πτολεμαΐδος διάστημα οἱ τροχοὶ τῶν ἁμαξῶν εὑρίσκοντο ἐντὸς τῶν ὑδάτων τῆς θαλάσσης. Τὸ μῆκος τῆς γραμμῆς ταύτης εἶνε $21\frac{1}{2}$ χιλ. Κατεσκευάσθη δὲ ὑπὸ τῆς διευθύνσεως τοῦ σιδηροδρόμου τῆς Χετζάζης. Τὰ ἐγκαίνια δ' αὐτῆς ἐγένοντο πανηγυρικώτατα τὴν 1)14 Ὀκτωβρίου παριππεύσαντος ἔτους. Ἡ γραμμὴ αὕτη μέχρι τοῦ σταθμοῦ Πέλετ-ἐσ-Σέχ, πέντε ἀπέχοντος χιλιόμετρα, συγχέεται μετὰ τῆς γραμμῆς Χάϊφας—Δέραα.

## *Ἄφιξις ναυτῶν.*

Περὶ τὰς ἀρχὰς Δεκεμβρίου ἀφίκοντο πρὸς ἐπίσκεψιν τῆς Ἱερουσαλὴμ εἴκοσιν ἀξιωματικοὶ καὶ τριάκοντα ναῦται Ὀλλανδικοῦ καταδρομικοῦ, περὶ δὲ τὰ τέλη τοῦ πρώτου ἡμίσεως τοῦ παρελθόντος μηνὸς ἑξακόσιοι περίπου ἀξιωματικοί, ὑπαξιωματικοὶ καὶ ναῦται τοῦ Ρωσσικοῦ καταδρομικοῦ ***Ποκατίρ***, παραμείναντος ἐπὶ μίαν περίπου ἑβδομάδα ἐν Ἰόππῃ, πρὸς ἐπίσκεψιν τῆς ἁγίας Πόλεως.

*Ι. ΦΩΚΥΛΙΔΗΣ*

ΑΠΘ.

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

**Ἑορταί.**—Ἡ πρώτη τοῦ νέου σωτηρίου ἔτους 1914, καθὼς καὶ ἡ ἑορτὴ τῶν Θεοφανείων ἔν τε τῷ Ἰορδάνῃ ποταμῷ καὶ ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως διεξήχθησαν ἐν συρροῇ πολλῶν προσκυνητῶν καὶ μετὰ τῆς δεούσης μεγαλοπρεπείας. Ἐπὶ τῇ πρώτῃ δὲ τοῦ νέου ἔτους, κατὰ τὴν κρατοῦσαν συνήθειαν, ὁ Μακαριώτατος ἡμῶν Πατὴρ ἀπηύθυνε συγχαρητήρια εὐχετικὰ τηλεγραφήματα τῷ τε Μ. Αὐτοκράτορι καὶ τοῖς Βασιλεῦσι τῶν Ὀρθοδόξων Κρατῶν, παρ' ὧν ἐλήφθησαν ἔμπλεα ὑψηλῆς εὐαρεσκείας εὐχαριστήρια ἀπαντητικὰ τηλεγραφήματα. Ἑόρτια τηλεγραφήματα ἀντηλλάγησαν καὶ μεταξὺ τῶν Πατριαρχῶν Κων/λεως καὶ Ἀντιοχείας καὶ τῶν πρώην Πατριαρχῶν. Πλεῖστοι δὲ τῶν λογάδων τοῦ εὐσεβοῦς ἡμῶν Γένους, τῶν Μητροπολιτῶν τοῦ Οἰκουμενικοῦ Θρόνου καὶ ἄλλων, τοῦ Ἀρχιεπισκόπου Σιναίου, τῶν ἱερατικῶς προϊσταμένων τῶν ἐν διασπορᾷ Ὀρθοδόξων Κοινοτήτων, καὶ πολλῶν ἄλλων προκρίτων τῆς Ἐπιστήμης ὑπέβαλον θερμὰ συγχαρητήρια. Ὁμοίως καὶ πάντες οἱ ἐν ἐξωτερικαῖς διακονίαις τελοῦντες Ἁγιοταφῖται διὰ τηλεγραφημάτων καὶ ἐπιστολῶν ἐξέφρασαν τὰ συγχαρητήρια αὐτῶν καὶ ᾐτήσαντο τὰς Πατριαρχικὰς εὐχὰς καὶ εὐλογίας, καθὼς καὶ οἱ ἐν Ἱερουσαλὴμ Πατέρες καὶ ἀδελφοὶ αὐτοπροσώπως, αἱ ἁγιοταφιτικαὶ σχολαί, οἱ ἐν ὑπηρεσίαις τοῦ Ἱεροῦ ἡμῶν Μοναστηρίου ὄντες καὶ πολλοὶ ἄλλοι ὁμογενεῖς καὶ ξένοι.

**Ἀναχωρήσεις.**—Οἱ ἐπὶ προσκυνήσει τῶν ἁγ. Τόπων παρεπιδημοῦντες ἔγκριτοι Ἱεράρχαι Σεβασμιώτατος Μητροπολίτης Ἐφέσου κ. **Ἰωακεὶμ** καὶ Πανιερώτατος Μητροπολίτης Κασσανδρείας κ. **Εἰρηναῖος** ἀνεχώρησαν ἐντεῦθεν, ὁ μὲν τῇ 11 Ἰανουαρίου, ὁ δὲ τῇ 8 τοῦ αὐτοῦ μηνὸς προπεμφθέντες μετὰ πολλῶν τιμῶν.

**Χειροτονία Ἀρχιμανδρίτου.**—Πατριαρχικῇ καὶ Συνοδικῇ διαγνώμῃ ὁ ἐκ τῶν διακόνων **Τιμόθεος Πυθαγόρας Θέμελης** προυχειρίσθη εἰς Πρεσβύτερον ἐν τῷ ἱερῷ Κουβουκλίῳ ὑπὸ τοῦ Κυριακου-

Α.Π.Θ.

πόλεως Βασιλείου τῇ 5 Ἰανουαρίου ἡμέρᾳ Κυριακῇ καὶ τῇ 29 τοῦ αὐτοῦ μηνὸς προήχθη εἰς Ἀρχιμανδρίτην.

***Ἐπὶ τῇ ἑορτῇ τῶν τριῶν Ἱεραρχῶν*** ἐτελέσθη ἐν τῷ ἱερῷ ναῷ τῆς μονῆς τοῦ ἁγίου Δημητρίου—περιλαμβανομένης νῦν ἐν τῷ Κεντρικῷ ἡμῶν Μοναστηρίῳ,—χοροστατοῦντος τοῦ Μακαριωτάτου, λειτουργία ὑπὸ τοῦ Ἀρχιμανδρίτου ***Τιμοθέου*** καὶ ἐμνημονεύθησαν οἱ Ἔφοροι, Καθηγηταί, Διδάσκαλοι, μαθηταὶ καὶ μαθήτριαι μετὰ πάντων τῶν ὑπὲρ ἐπιδόσεως τῶν ἡμετέρων Σχολῶν συνεργούντων. Μετὰ τὸ πέρας τῆς λειτουργίας οἱ πάντες συνῆλθον ἐν τῇ εὐρείᾳ τοῦ Γυμνασίου αἰθούσῃ, ἐν ᾗ, προκαθημένου τοῦ Σέπτου ἡμῶν Πατρὸς μετὰ πολλῶν Ἁγιοταφιτῶν καὶ ἐν μέσῳ πολλῶν φιλομούσων, ὁ Σχολάρχης Ἀρχιμανδρίτης ***Ἰάκωβος Ἀρχατζικάκης*** ἀνελθὼν τὸ βῆμα ἀνέγνω τὸν πανηγυρικὸν τῆς ἡμέρας πραγματευθεὶς «Περὶ τῆς κατὰ Χριστὸν μορφώσεως τῆς νεολαίας».

Τὸν λόγον τοῦ κ. Σχολάρχου ἐκάλυψαν ζωηρὰ χειροκροτήματα, μεθ' ὃ οἱ μαθηταὶ ὑπὸ τὴν διεύθυνσιν τοῦ Μουσικοδιδασκάλου κ. ***Ἐμμανουὴλ Βαμβουδάκη*** ἔψαλαν ἐκλεκτὰ ᾄσματα. Τὴν τελετὴν ταύτην τῶν γραμμάτων ὁ Μακαριώτατος ἐπεσφράγισε διὰ καταλλήλου προσλαλιᾶς.

***Ἐπισκέψεις.***—Τῇ 18 Ἰανουαρίου ὁ Ἄγγλος ὑποστράτηγος **Alex. Rawlins** μετὰ τῆς Κυρίας αὐτοῦ ἐπεσκέφθη τὸν Μακαριώτατον γενόμενος δεκτὸς μετὰ πολλῶν τιμῶν. Τῇ δ' εἰκοστῇ ἐγένετο ἡ ἀντεπίσκεψις αὐτοπροσώπως ὑπὸ τῆς Α. Θ. Μακαριότητος.

Τῇ 27 Ἰανουαρίου ὁ Πρόξενος τῆς Γερμανίας **E. Schmidt** ἀνῆλθεν εἰς τὰ Πατριαρχεῖα καὶ συνέστησε τῷ Μακαριωτάτῳ τοὺς ἐκ Γερμανίας ἀφιχθέντας Καθηγητὰς **Duensing** καὶ **Martin Flashar** ζητήσαντας ἄδειαν, ὅπως ἐργασθῶσιν ἐπὶ χειρογράφων τῆς Παλαιᾶς Διαθήκης ἐν τῇ Κεντρικῇ ἡμῶν Βιβλιοθήκῃ.

Αὐθημερὸν ὁ Ἄγγλος Πρόξενος **Mc Gregor** συνοδευόμενος ὑπὸ τοῦ ***Τ. Π. Θέμελη*** ἐπεσκέφθη τὰ πλέον ἀξιοπερίεργα μέρη τοῦ Ναοῦ τῆς Ἀναστάσεως καὶ εἶτα τὸ ἡμέτερον Τυπογραφεῖον.

Τῇ 11 Φεβρουαρίου ὁ Ἀμερικανὸς **Andrew Gray** διδάκτωρ τῆς Θεολογίας ἐπεσκέφθη τὸν Μακαριώτατον διαβιβάσας τοὺς ἀδελφικοὺς ἀσπασμοὺς τοῦ Προεδρεύοντος Ἀγγλικανοῦ Ἐπισκόπου τῶν Ἡνωμένων Πολιτειῶν καὶ ἀνακοινώσας πολλὰ τὰ ἐνδιαφέροντα περὶ τῆς ζωῆς τῶν ἐν Ἀμερικῇ Ὀρθοδόξων Ἐκκλησιῶν.

***Σύλλογος ὁ Πανάγιος Τάφος.***— Ὁ μετὰ δραστηριότητος καὶ λίαν ἐπωφελῶς ὑπὲρ τοῦ Παναγίου Τάφου ἐργαζόμενος ἀνωτέρω Σύλλογος ἀνήγγειλε δι' ἐπιστολῆς τῷ Μακαριωτάτῳ τὴν ἐκλογὴν τοῦ νέου

Διοικητικοῦ Συμβουλίου ὑπὸ πρόεδρον τὸν αὐτὸν κ. **Γρηγόριον Στυλιανίδην** ἐκλεγέντα παμψηφεὶ διὰ 4 φοράν, καὶ Γραμματέα τὸν αὐτὸν κ. **Ἀλέξ. Παπασπύρου** δικηγόρον, ὁμοίως ἐκλεγέντα παμψηφεὶ διὰ 4 φοράν. Ἅμα δὲ προειδοποιεῖ, ὅτι διὰ τὸ προσεχὲς Πάσχα διοργανοῦται ἐκδρομὴ εἰς τοὺς Ἁγίους Τόπους μετὰ πολυτίμων δώρων.

***Συγχαρητήρια.***— Τῷ Μακαριωτάτῳ Ἀντιοχείας **Γρηγορίῳ** ἄγοντι τὴν ὀνομαστήριον αὐτοῦ ἑορτὴν (25 Ἰανουαρίου) ὁ Σεπτὸς ἡμῶν Πατὴρ καὶ Πατριάρχης τηλεγραφικῶς ἀπηύθυνεν ἀδελφικὰ συγχαρητήρια.

***Ἀρχιεπισκοπικὴ μετάθεσις.***— Τῇ 29 Ἰανουαρίου ἐγένετο διὰ κανονικῆς πράξεως καὶ τελετῆς ἐν τῷ ναῷ τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης ἡ μετάθεσις καὶ προαγωγὴ τοῦ τέως Ἀρχιεπισκόπου Φιλαδελφείας κ. **Σωφρονίου** εἰς Ἀρχιεπίσκοπον Θαβωρίου, διὸ καὶ ἐδέξατο τὰ συγχαρητήρια τῶν Ἁγιοταφιτῶν Πατέρων καὶ τῶν πολλῶν αὐτοῦ φίλων.

***Διορισμὸς Ἀρχιγραμματέως.***— Ἐν τῇ Συνοδικῇ συνεδρίᾳ τῆς 29 Ἰανουαρίου ὁ τέως ἀναπληρωτὴς τῆς Ἀρχιγραμματείας Ἱερολογιώτατος διάκονος κ. **Ἱππόλυτος Μιχαηλίδης** ὠνομάσθη κοινῇ γνώμῃ τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου Γέρων Ἀρχιγραμματεὺς καὶ Συνοδικὸν μέλος.

***Διορισμοὶ νέων Συνοδικῶν μελῶν.***—Ὁμοφώνῳ Πατριαρχικῇ καὶ Συνοδικῇ ἀποφάσει ἐνεκρίθησαν ὡς νέα Συνοδικὰ μέλη οἱ Ἀρχιμανδρῖται **Κάλλιστος** διευθυντὴς τοῦ Ρωσικοῦ Γραφείου, **Δοσίθεος** Ἐπίτροπος ἐπὶ τῆς Ἐκπαιδεύσεως, καὶ **Τιμόθεος** Γραμματεὺς τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου. Ἡ ὁρκωμοσία τῶν τεσσάρων τούτων νέων Συνοδικῶν μελῶν ἐγένετο τῇ 1 Φεβρουαρίου, ὅτε καὶ παρεκάθησαν ἐν τῇ Συνοδικῇ συνεδρίᾳ ὡς κανονικὰ καὶ τακτικὰ μέλη, τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου παμψηφεὶ ἐγκρινάσης τὴν ἐκλογὴν τῶν ἀνωτέρω διά τε τὴν μόρφωσιν, τὴν χρηστότητα τοῦ ἤθους καὶ τὴν εὐδοκίμησιν ἐν ταῖς ὑπηρεσίαις.

### *Ἀρχιμανδρίτης Κάλλιστος*

Ἐγεννήθη ἐν Κρήτῃ τῷ 1866 καὶ ἀφίκετο εἰς Ἱεροσόλυμα τῷ 1881. Ἐξεπαιδεύθη ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Σταυροῦ, ἐξ ἧς ἀπεφοίτησε τῷ 1888 διορισθεὶς ἐπὶ ἓν ἔτος Βιβλιοφύλαξ τῆς Κεντρικῆς Βιβλιοθήκης. Τῇ 5ῃ Ἰουλίου 1889 χειροτονηθεὶς Διάκονος ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως ἀπεστάλη ὑπὸ τοῦ Πατριάρχου Νικοδήμου εἰς τὴν Θεολογικὴν Ἀκαδημίαν τῆς Μόσχας πρὸς τελειοποίησιν τῶν σπουδῶν αὐτοῦ. Τῷ 1894 ἀποφοιτήσας τῆς Ἀκαδημίας μετὰ τοῦ βαθμοῦ

« Προλύτης τῆς Θεολογίας », αἰτήσει τοῦ Πατριάρχου Ἀντιοχείας Σπυρίδωνος πρὸς τὸν Πατριάρχην Γεράσιμον διωρίσθη κατὰ Ὀκτώβριον μῆνα ἀντιπρόσωπος τοῦ Ἀντιοχικοῦ Θρόνου ἐν Μόσχᾳ, προσωρινῶς ἀποσπασθεὶς τῆς ἱερᾶς αὐτοῦ Μετανοίας, ἔνθα χειροτονηθεὶς Πρεσβύτερος ὑπὸ τοῦ Βικαρίου τοῦ Μητροπολίτου Μόσχας ἐπισκόπου Νέστορος ἐν τῇ Ἐκκλησίᾳ τοῦ Σεμιναρίου τῇ 6ῃ Νοεμβρίου τοῦ αὐτοῦ ἔτους, ἐπὶ ἑξαετίαν διηύθυνε τὸ Ἀντιοχικὸν Μετόχιον. Μετὰ ταῦτα προαχθεὶς εἰς Ἀρχιμανδρίτην τῷ 1900 διορίζεται ἐν Κων/πόλει ὡς βοηθὸς τοῦ Ἐπιτρόπου τοῦ Π. Τάφου Ἀρχιεπισκόπου Νεαπόλεως Ἀρσενίου ἐπὶ διετίαν ἐκεῖ παραμείνας. Τῆς θέσεως τοῦ βοηθοῦ καταργηθείσης, ἐπανέρχεται εἰς Ἱεροσόλυμα καὶ διορίζεται μέλος τῆς Ἐκπαιδευτικῆς Ἐπιτροπῆς, καὶ Γραμματεὺς τῆς Ρωσσικῆς· εἶτα μέλος τοῦ Ἐλεγκτικοῦ Σώματος καὶ μετὰ ταῦτα Διευθυντὴς τοῦ Ρωσσικοῦ Γραφείου. Τῇ 29ῃ Ἰανουαρίου 1914 διορίζεται μέλος τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου.

Κατὰ τὸ διάστημα τοῦτο εἰργάσθη λίαν εὐδοκίμως, διὸ καὶ ἐδημοσίευσε διαφόρους θεολογικὰς μελέτας, ὧν τὰς πλείστας ἐν τῇ « Νέᾳ Σιών ». Περικοσμεῖται δὲ ὑπὸ πολλῶν παρασήμων.

## *Ἀρχιμανδρίτης Δοσίθεος.*

Ἐκ Σάμου καταγόμενος ἐγεννήθη ἐν Ἱερουσαλὴμ τῷ 1879. Ἐξεπαιδεύθη ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Σταυροῦ, ἐξ ἧς ἀπεφοίτησεν τῷ 1901. Τῇ 7 Ἰουλίου 1902 ἐκάρη μοναχὸς καὶ τῇ 15 Ἰουλίου τοῦ αὐτοῦ ἔτους διωρίσθη ἐν τοῖς Πατριαρχικοῖς Γραφείοις. Τῇ 25 10/βρίου 1903 ἐχειροτονήθη διάκονος ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως ὑπὸ τοῦ Διοκαισαρείας Νικοδήμου. Τῷ 1909 διωρίσθη Γραμματεὺς τῆς ἁγίας Συνόδου καὶ τὸν 10/βριον τοῦ αὐτοῦ ἔτους ἀπεστάλη ὡς βοηθὸς τοῦ ἐν Κων/λει Ἐπιτρόπου Ἀρσενίου Νεαπόλεως. Ἀποχωρήσαντος τούτου κατὰ Φεβρουάριον τοῦ 1910, διωρίσθη προσωρινὸς Ἐπίτροπος παραμείνας ἐν τῇ θέσει ταύτῃ μέχρις 8/βρίου 1911, ὅτε ἐν τῷ μεταξὺ κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα προὐχειρίσθη εἰς Πρεσβύτερον ὑπὸ τοῦ Πατριάρχου Κων/λεως Ἰωακεὶμ τῇ ἐγκρίσει τοῦ Μακαριωτάτου Ἱεροσολύμων. Ἐπανελθὼν εἰς Ἱεροσόλυμα διωρίσθη μέλος τοῦ Μικτοῦ Σωματείου προαχθεὶς εἰς Ἀρχιμανδρίτην τῇ 23 10/βρίου 1911. Τῇ 31 Αὐγούστου 1912 διωρίσθη Ἐπίτροπος τῆς ἐκπαιδεύσεως, τῇ 8 8/βρίου 1912 μέλος τῆς ἐφορίας τοῦ Τυπογραφείου καὶ τῇ 29 Ἰανουαρίου 1914 μέλος Συνοδικὸν διὰ τὴν εὐδοκίμησιν, ἣν ἐπεδείξατο ἐν ταῖς ἀνωτέρω ὑπηρεσίαις τοῦ Ἱεροῦ ἡμῶν Κοινοῦ.

### *Ἱππόλυτος Μιχαηλίδης*

Ἐγεννήθη ἐν Κύπρῳ τῷ 1881 καὶ ἀφίκετο εἰς Ἱεροσόλυμα τῷ 1893. Ἐσπούδασεν ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Σταυροῦ καρεὶς μοναχὸς τῇ 3 10/βρίου 1902. Ἐκ τῆς Σχολῆς ἀπεφοίτησεν ἀριστοῦχος τῷ 1903, διορισθεὶς γραμματεὺς τῆς Ἐκπαιδευτικῆς Ἐπιτροπείας καὶ ταὐτοχρόνως βοηθὸς ἐν τοῖς Πατριαρχικοῖς Γραφείοις. Τῇ 14 Φεβρουαρίου 1904 χειροτονεῖται διάκονος ἐν τῷ ἁγίῳ Κουβουκλίῳ. Ὁρίζεται δὲ μετ' ὀλίγον γραμματεὺς ἀποκλειστικῶς ἐν τοῖς Πατριαρχικοῖς Γραφίοις, ἐκπληρῶν ἅμα καὶ καθήκοντα γραμματέως τῆς Νέας Σιὼν ἀπὸ τοῦ 1905. Τῷ 1910 διωρίσθη Γραμματεὺς τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου, ἐξ ἧς θέσεως μετά τινα χρόνον ἀποσυρθεὶς διορίζεται τῇ 6 Μαΐου 1910 Βιβλιοφύλαξ τῆς Κεντρικῆς ἡμῶν Βιβλιοθήκης, κατέχων συγχρόνως καὶ τὴν θέσιν γραμματέως ἐν τοῖς Πατριαρχικοῖς Γραφείοις. Τὸν Αὔγουστον τοῦ 1912 διορίζεται ἀναπληρωτὴς τῆς Ἀρχιγραμματείας καὶ εἶτα ἔφορος τοῦ Τυπογραφείου. Τῇ 29 Ἰανουαρίου 1914, ὁμοφώνῳ Συνοδικῇ ἀποφάσει, διορίζεται Γέρων Ἀρχιγραμματεὺς τοῦ Ι. Κοινοῦ καὶ μέλος Συνοδικόν.

### *Τιμόθεος Πυθαγόρας Θέμελης*

Ἐγεννήθη ἐν Χώρᾳ τῆς Σάμου τῷ 1878 καὶ ἀφίκετο εἰς Ἱεροσόλυμα τῷ 1898. Ἀποφοιτήσας τῆς Σχολῆς τοῦ Σταυροῦ διήκουσε μαθήματα ἐν τῷ Πανεπιστημίῳ τῆς Ὀξφόρδης, καὶ εἶτα διωρίσθη Διευθυντὴς τῆς Νέας Σιών, Βιβλιοφύλαξ, Γραμματεὺς τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου, Ἔφορος τῶν ἐν Ἱερουσαλὴμ Σχολῶν, καὶ τελευταίως μέλος Συνοδικόν. Ἐκάρη μοναχὸς τῇ 24 Μαρτίου 1906, ἐχειροτονήθη διάκονος τῇ Κυριακῇ τῶν Μυροφόρων τοῦ 1906, προὐχειρίσθη εἰς Πρεσβύτερον τῇ 5 Ἰανουαρίου 1914 καὶ προήχθη εἰς Ἀρχιμανδρίτην τῇ 29 τοῦ αὐτοῦ μηνὸς καὶ τοῦ αὐτοῦ ἔτους.

***Κουραὶ καὶ χειροτονίαι.***—Πατριαρχικῇ καὶ Συνοδικῇ ἐγκρίσει ἐκάρησαν εἰς Μοναχοὺς ὑπὸ τοῦ Μακαριωτάτου τῇ 7 Φεβρ. οἱ ἐκ τῶν δοκίμων Πολύδωρος, Παῦλος, Κωνσταντῖνος Φίλιππος, Ἰωάννης καὶ Ἰωάννης μετονομασθέντες κατὰ σειρὰν Παλλάδιος, Παῦλος, Καλλίνικος, Θαδδαῖος Ἰωαννίκιος καὶ Ἰγνάτιος. Ἐχειροτονήθησαν δὲ διάκονοι οἱ μοναχοὶ Βαρθολομαῖος καὶ Παλλάδιος τῇ 8 Φεβρουαρίου, ὁ Παῦλος τῇ 9, ὁ Καλλίνικος τῇ 10, ὁ Θαδδαῖος τῇ 12, ὁ Ἰωαννίκιος τῇ 13 καὶ ὁ Ἰγνάτιος τῇ 22 τοῦ αὐτοῦ μηνός. Οἱ μοναχοὶ Κοσμᾶς καὶ Εὐγένιος ἐχειροτονήθησαν διάκονοι, ὁ μὲν τῇ 14 Φεβρ. καὶ ἱερεὺς τῇ 15, ὁ δὲ διάκονος τῇ 15 καὶ ἱερεὺς τῇ 22.

***Διορισμοί.***—Ὁ Ἱερομόναχος Εὐγένιος διωρίσθη ἐπιστάτης ἐν Διδυμοτείχῳ, ὁ μοναχὸς Ἀκάκιος ἐπιστάτης ἐν Σκεπαστῷ, ὁ Ἱερομόναχος Κοσμᾶς ἐφημέριος ἐν τῇ ἀνακαινιζομένῃ Μονῇ τοῦ Πατριάρχου Μοδέστου καὶ ὁ Ἀρχιμανδρίτης Ματθίας μέλος τῆς Κτηματικῆς Ἐπιτροπῆς.

***Θεῖον Κήρυγμα.***—Τὸ πρόγραμμα τοῦ θείου κηρύγματος κατὰ τὴν Μεγάλην Τεσσαρακοστὴν καθωρίσθη ὡς ἑξῆς: Ἀρχιμ. Ἰάκωβος τῇ Α΄. Κυριακῇ τῶν Νηστειῶν, Ἀρχιμ. Ματθίας τῇ Β΄., Διάκονος Βησσαρίων τῇ Γ΄., Διάκονος Κωνστάντιος τῇ Δ΄., Διάκονος Νάρκισσος τῇ Ε΄., Διάκονος Ἀθηναγόρας τῇ Μ. Πέμπτῃ Τουρκιστί, Ἀρχιμ. Παντελεήμων τῇ Μ. Παρασκευῇ, καὶ Ἀρχιμ. Δοσίθεος τῇ αὐτῇ ἡμέρᾳ Ἀραβιστί.

***Κυριακὴ τῆς ὀρθοδοξίας.***— Ἡ μεγάλη Παρρησία τῆς Κυριακῆς τῆς Ὀρθοδοξίας ἐτελέσθη ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως ὑπὸ τοῦ Μακαριωτάτου ἡμῶν Πατρὸς συμπαραστατουμένου ὑπὸ τῶν Σεβασμιωτάτων Ἀρχιερέων Ἰορδάνου Μελετίου, Λύδδης Νικοδήμου, Θαβωρίου Σωφρονίου, Σεβαστείας Γλυκερίου καὶ Γάζης Σωφρονίου, τοῦ Κυριακουπόλεως Βασιλείου τελέσαντος τὴν λειτουργίαν ἐν τῇ Βασιλικῇ τῆς Βηθλεέμ. Ἥ τε λειτουργία καὶ ἡ λιτανεία ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως ἐγένοντο ἐν μεγάλῃ συρροῇ προσκυνητῶν καὶ ἄλλων πιστῶν. Μετέσχον δ' ἐν μὲν τῷ Ἑσπερινῷ 47 ἱερεῖς μετὰ 8 διακόνων, ἐν δὲ τῇ λιτανείᾳ 18 διάκονοι, 60 ἱερεῖς καὶ 5 Ἀρχιερεῖς.

***Ἐπίσημος Ἰνδὸς ἐν τῇ Βιβλιοθήκῃ.***—Τῇ 27 Ἰανουαρίου ἐπεσκέφθη τὴν Κεντρικὴν ἡμῶν Βιβλιοθήκην ὁ Ἀπδουλκερὴμ Ἀμποῦ Ἄχμετ Χὰν Γαζνάουϊ, μέλος τοῦ Αὐτοκρατορικοῦ Συμβουλίου τῶν Ἰνδιῶν καὶ ἀπεθαύμασε τὰ ἀρχαῖα φιρμάνια καὶ χειρόγραφα λαβὼν πλείστας ὅσας σημειώσεις.

***Νοσοκομεῖον τοῦ Παναγίου Τάφου.***— Παρὰ τοῦ διευθυντοῦ Ἰατροῦ τοῦ ἡμετέρου Νοσοκομείου κ. Νικολάου Σπυρίδωνος ἐλήφθη τὸ ἀκόλουθον σημείωμα

«Τὸ διὰ τὰ κολλητικὰ νοσήματα ἱδρυθὲν ἐσχάτως παράρτημα τοῦ Ἡμετέρου Νοσοκομείου ἐχρησίμευσεν ἐφέτος εἰς νοσηλείαν 11 τυφικῶν, 12 παθόντων ἐξ ἱλαρᾶς, 5 παθόντων ἐρυσίπελας καὶ ἄλλων ἐκ φυματιώσεως πνευμονικῆς καὶ κολλητικῶν νοσημάτων.

Ἡ Ἵδρυσις αὐτοῦ ἦτο οὐ μόνον χρησιμωτάτη, ἀλλὰ καὶ ἀναπόφευκτος λόγῳ τῶν πολλῶν ἐπιδημιῶν καὶ τῆς ἀνάγκης τοῦ χωρισμοῦ τῶν τοιούτων νοσημάτων

Ὀφείλομεν δὲ χάριτας εἰς τοὺς Ἁγιοταφίτας Πατέρας τοὺς προσενεγκόντας τὴν βοήθειαν αὐτῶν πρὸς ἐπίπλωσιν αὐτοῦ.

| | | φρ. |
|---|---|---|
| Παρὰ τοῦ Μοναχοῦ Σεραπίωνος | ἐδόθησαν | 264 |
| Παρὰ τοῦ Παρασκευοφύλακος Ἀρχιμ. Γερασίμου | » | 200 |
| Παρὰ τοῦ προσωπικοῦ τοῦ Νοσοκομείου | » | 160 |
| Παρὰ τοῦ Ἀρχιμανδρίτου Σεραφείμ. | » | 100 |
| Παρὰ τοῦ Μοναχοῦ Δωροθέου | » | 60 |
| Παρὰ τοῦ Ἀρχιμ. Ἀβραμίου Ἡγουμ. Σαρανταρίου | » | 77 |
| Παρὰ τοῦ Μάρκου Κεντητοῦ Ἱερομονάχου | » | 60 |
| Παρὰ Ἀνωνύμου | » | 60 |
| Παρὰ τοῦ Ἀρχιμ. Τιμοθέου Π. Θέμελη | » | 30 |
| Παρὰ τοῦ Ἀρχιμ. Νικοδήμου | » | 30 |
| Παρὰ τοῦ Μοναχοῦ Μαξίμου | » | 20 |
| Παρὰ τοῦ Χρηστάκη φαρμακοποιοῦ | » | 20 |

Τινὲς τῶν Ἁγιοταφιτῶν Πατέρων προσέφερον βοηθείας εἰς εἴδη (ὑφάσματα).

Διὰ τῶν βοηθειῶν τούτων ἐσχηματίσθη ἰδιαιτέρα ὅλως καὶ χωριστὴ προὶξ σινδονῶν, στρωμνῶν, κλινῶν καὶ ἐνδυμάτων χρησιμεύουσα ἀποκλειστικῶς καὶ μόνον διὰ τοὺς νοσηλευομένους εἰς τὸ τμῆμα τοῦτο».

***Καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.***— Ἔναγχος ἀντήχησε τὸ κάλλιστον τοῦτο εὖχος τῶν μακάρων Πατέρων ἐν τῇ ἁγίᾳ ἡμῶν Ἐκκλησίᾳ, καὶ οὐ πρὸ πολλοῦ, κατὰ τοὺς τελευταίους μῆνας τοῦ λήξαντος ἔτους, ἡ βαθύπλουτος εἰρήνη ἐν εὐδοκίᾳ ἐγένετο ἀποδεκτὴ ἐν τῇ καθ' ἡμᾶς Ἀνατολῇ ὑπὸ Ἐθνῶν, ὧν τὰ γεωγραφικὰ ὅρια, κατὰ προτεταγμένους καιρούς, διεσαλεύθησαν καὶ ἠλλοιώθησαν. Ἡ τρίλλιστος καὶ πολύλλιστος αὕτη εἰρήνη, ἡ ἐπηρείαις ἐσωτερικαῖς τε καὶ ἐξωτερικαῖς φυγαδευθεῖσα καὶ ἐν ὀρφανίᾳ ἐάσασα ἐπὶ σειρὰν ἐτῶν τὴν Παμμήτορα τῶν Ἐκκλησιῶν, ἐν εὐδοκίᾳ ἐπανέκαμψε καὶ ἐσκήνωσεν ἐν τῷ κλίματι τοῦ Πατριαρχείου Ἱεροσολύμων ἀφειδῶς ἐκκενώσασα τὰ τίμια αὐτῆς δῶρα, ὥστε καὶ ἡ ἐν διαστάσει πρὸς τὴν Κυβερνῶσαν Ἐκκλησίαν μερὶς τῶν Ἱεροσολυμιτῶν καταλιποῦσα ἐν τῷ τάφῳ τῆς λήθης τὰ ὀθόνια τῆς διχονοίας, ἐζήτησεν ἔλαιον ὁμονοίας, ἵνα μὴ αἱ λαμπάδες αὐτῆς σβεσθῶσι. Καὶ οὕτως ἡ εἰρήνη ἐθριάμβευσεν.

Χάρις τῇ Σεβαστῇ ἡμῶν Κυβερνήσει, ἥτις, διὰ τῆς ἀποστολῆς τοῦ Ἐξοχωτάτου Ὑφυπουργοῦ τῆς Δικαιοσύνης Ἀζμῆ Βέη διαπνεομένου ὑπὸ αἰσθημάτων φιλοδικαίων καὶ συμβιβαστικῶν, ἐπετέλεσε τὸ πρῶτον γενναῖον βῆμα.

Χάρις τοῖς Κυβερνῶσι τὴν Ἐκκλησίαν Ἱεροσολύμων, οἵτινες

διὰ πεπειραμένης συνέσεως ἀπέβλεπον, ἔστω καὶ βραδέως, εἰς συμβιβασμόν, ὅστις καὶ τα δίκαια τῆς Κυβερνώσης Ἐκκλησίας ἐξησφάλιζεν ἀπαραμείωτα, καὶ περὶ τῶν συμφερόντων τοῦ Κυβερνωμένου ποιμνίου πρόνοιαν μεγάλην ἐποιεῖτο. Διότι μόνον ἡ κατοχύρωσις τῶν δικαίων τοῦ Πατριαρχείου προστατεύει ἀσφαλῶς τὰ συμφέροντα τοῦ ἐν Παλαιστίνῃ Ὀρθοδόξου ποιμνίου.

Χάρις δὲ καὶ τῷ φιλοχρίστῳ καὶ περιουσίῳ ἡμῶν ποιμνίῳ, ὅπερ ἀπομακρυνθὲν εἰσηγήσεων καὶ ὑποβολῶν ἀλλοτρίων, ὑπήκουσε τῇ τῆς Ἐκκλησίας φωνῇ καὶ ἐζήλωσε τὴν δόξαν τοῦ Θεοῦ.

Τῇ συνδρομῇ τοιούτων εὐνοϊκῶν συνθηκῶν αἱ ἀπὸ τῆς ἀφίξεως τοῦ Ἐξοχωτάτου Ὑφυπουργοῦ Ἀζμῆ Βέη (23 Νοεμβρίου) ἀρξάμεναι συνεννοήσεις κατέληξαν εἰς αἴσιον ἀποτέλεσμα. Καὶ τῇ μὲν λ'. Δεκεμβρίου ἐγένετο ἡ ὑποταγὴ εἰς τὴν φωνὴν τῆς Ἐκκλησίας, τῇ δ' ἐπιούσῃ τελευταίᾳ ἡμέρᾳ τοῦ ἐκπνέοντος ἔτους, μεθ' ὅλας τὰς ἀπαιτουμένας διατυπώσεις, ἠνοίχθησαν αἱ θύραι τῆς Ἐκκλησίας τοῦ ἁγίου Ἰακώβου, καὶ ἡ διὰ τοῦ Κεντρικοῦ Μοναστηρίου εἰς τὸν Ἅγιον Τάφον δίοδος, ὥστε τῇ 10 πρωϊνῇ ὥρᾳ ὁ Σεβασμιώτατος Πατριαρχικὸς Ἐπίτροπος Ἰορδάνου κ. Μελέτιος ἐν συνοδείᾳ, ἐν ᾗ προεξῆρχον καὶ οἱ τῆς Ἐκκλησίας ὑπὸ τοῦ Μακαριωτάτου ἡμῶν Πατρὸς διορισθέντες Ἐπίτροποι, κατῆλθε διὰ τῆς εἰρημένης διόδου εἰς τὴν Καθεδρικὴν τοῦ ἁγίου Ἰακώβου Ἐκκλησίαν, τελέσας ἐν συρροῇ πολλῶν πιστῶν τὴν τελετὴν τοῦ ἁγιασμοῦ. Τὸ ἑσπέρας ἐγένετο ὁ Ἑσπερινός, τῇ δ' ἐπαύριον, ἥτις ἦτο ἡ πρώτη τοῦ νέου ἔτους 1914, ἐτελέσθη μεγαλοπρεπὴς Πατριαρχικὴ λειτουργία, τοῦ Μακαριωτάτου ἡμῶν Πατρὸς ἐπευλογήσαντος τὸ πλήρωμα τῆς Ἐκκλησίας καὶ εὐχηθέντος ὑπὲρ ἀδιασείστου εἰρήνης καὶ ὁμονοίας ἐν τῷ ποιμνίῳ αὐτοῦ. Ταὐτοχρόνως ἐγένοντο λειτουργίαι καὶ ἐν ταῖς Μοναῖς τοῦ ἁγίου Εὐθυμίου καὶ τῆς Σεϊδανάγιας, μετ' ἀποκαταστάσεως πλήρους εἰρήνης καὶ ἐν τῇ Ἐκκλησίᾳ Ἰόππης.

Οὕτω μετὰ μακρὸν χρόνον δι' ἀτρύτων πόνων καὶ μόχθων καὶ ἀδιαλείπτων ἐνεργειῶν τοῦ τε Μακαριωτάτου καὶ τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου διεκανονίσθησαν τὰ ἀπασχολήσαντα τὸ Πατριαρχεῖον Ἱεροσολύμων ζητήματα, καὶ ἐκ τοῦ ὅλου ἀγῶνος προῦκυψαν δύο σπουδαῖα κεφάλαια: Πρῶτον ἡ ἀκεραία καὶ ἀλώβητος διατήρησις τοῦ κατ' ἐξοχὴν προνομιακοῦ ἡμῶν καθεστῶτος, καὶ δεύτερον ἡ κατασφάλισις καὶ ἐπικύρωσις τούτου δι' ὑψηλῶν ἀποφάσεων καὶ ἐπισήμων ἐγγράφων τῆς νέας Συνταγματικῆς Κυβερνήσεως.

†

## Ἀρχιμανδρίτης Δωρόθεος.

Τῇ 11 Ἰανουαρίου συνεπείᾳ γεροντικῆς ἐξαντλήσεως ἐτελεύτησεν ὁ Ἀρχιμανδρίτης Δωρόθεος ἐν τῇ Μονῇ τοῦ Σταυροῦ, ἐν ᾗ ἐγηροκομεῖτο, καὶ τῇ ἐπιούσῃ ἐκηδεύθη προσηκόντως, προεξάρχοντος τοῦ Φιλαδελφείας Σωφρονίου, ταφεὶς ἐν τῷ παρακειμένῳ σπηλαίῳ τοῦ ἁγίου Νικολάου.

Ὁ μακαρίτης κατήγετο ἐξ Ἀδριανουπόλεως γεννηθεὶς τῷ 1827 καὶ καταλαβὼν τὴν Ἱερουσαλὴμ τῷ 1861, διωρίσθη ἐφημέριος ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως ὑπηρετήσας ἐπὶ δεκαετίαν καὶ εἶτα ἀλληλοδιαδόχως διωρίσθη Ἡγούμενος ἁγίου Νικολάου, ἐφημέριος τῆς Θεολογικῆς Σχολῆς τοῦ Σταυροῦ, Κηρατζῆς, Ἡγούμενος ἁγίας Αἰκατερίνης καὶ μετὰ ταῦτα ἐν Ρέμλῃ. τῷ 1887 προήχθη εἰς Πρωτοσύγκελλον καὶ τῷ 1897 εἰς Ἀρχιμανδρίτην. Ἐπὶ τῇ τελευτῇ τούτου ἐτελέσθησαν τὰ κεκανονισμένα μνημόσυνα καὶ ἀνεπέμφθησαν δεήσεις ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς αὐτοῦ. Αἰωνία αὐτοῦ ἡ μνήμη.

Α.Π.Ο.

Α.Π.Θ.